Φύλλ. 125—298« Τοῦ σοφωτάτου Μιχαὴλ Ἐφεσίου τοῦ Ψελλοῦ σχόλια εἰς τὰ μεταφυσικὰ τοῦ Ἀριστοτέλους ἀρχομένων τῶν σχολίων ἀπὸ τοῦ Ε(—τοῦ Ν.)» Εἰς τὸ τέλος αὐτοῦ ἡ σημείωσις «1731 δεκεμβρίω 13 ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς Ῥίζου Μαζοῦ τοῦ ἐξ Ἄρτης καὶ τῷ Θεῷ δόξα καὶ προσκύνησις εἰς τοὺς αἰῶνας ἀμήν.» Μετ' αὐτὴν δὲ τὸ ἑξῆς. . .

Εἰς τὴν βίβλον καὶ εἰς τὸν Ἀριστοτέλην ἰαμβικόν.

Βίβλος καλλίστη, ἣν ἔχεις χερσὶν ἔτα,
μυεῖται τὰ ἄδυτα, τοῦ Σταγειρίτου,
ῥήματα θείων ὑφερεῦντα τῶν ὄντων,
ὑπόστασιν ὕπαρξιν, ἠὲ τῶν τρόπους,
διαφοράς τε τῶν σοφῶς τούτων πέρι,
εἰπόντων, ἢ τοὔμπαλιν δόξασαμένων.
Ὦ δόξας ἐκθεὶς, καὶ σοφῶς βασανίσας,
ἀναίνετ' ἃς μὲν, ἃς δὲ αὖθις εὐθύνει,
ἐφ' οἷς ἀρίστως γνωμοδοτεῖ προφρόνως,
οἰκείαν στησάμενος, δόξαν γαθέην
Θείας τὸ πρῶτον, τοῦ Πλάτωνος ἰδέας
ἀφ' ὑψηλῆς μυνῆς γε βάσιος μάλα,
κάτω ῥίγνυσι γᾶς ἐπὶ ἐξαισίως,
καὶ ὑποβάλλει διασύρων εἰκότως
τοῖς οὐδὲ ὑπάρχουσι, μὴ διδοὺς στάσιν.
Πυθαγορείων κᾶτα ἀδολεσχίαν,
καὶ φληνάφους ῥήσεις τε, τῶν τὴν δυάδα
ἀρχὴν λεγόντων, καὶ ἀπεκφηναμένων,
ὄντων ἁπάντων, αἰθερίων χθονίων
κἀλληγορίης τερθρίαν τὴν τοῦ λόγου
μόνον λόγου 'γείρεσθαι οὕνεκα ἔφη.
Πρωταγόραν κεῖνον δὲ, τὸν κενὸν πανὺ,
ὃς . . . ., πάντα τὸν κόσμον πέλειν
. ἀντέφασκεν αὐτὸν μὴ ὄντα λέγειν,
καθεῖλεν ἐξώθησε, τὴν ἄλλως λίαν.
στόμα ἀνοίγειν ἀποφήνας λαλέειν.
Ὄντως μεθ' ἄγε, ἀκολουθήσεις πάσας,
ἀριθμέων ἵστησι, τοῖς μαθητέα,
τὰ τοιάδε κρίνουσι, κάρτα προφρόνως,
ἓν καὶ ὂν ἰσότητα, ταυτότητα αὖ,
ὅμοιον ἀνόμοιον, ἠδ' ὅσα ἄλλα,
τῷ ὄντι παρέπονται, ἰδιωμάτων
μεθ' ὧν ἑρμηνεύσεις τε, καὶ ἀναπτύξεις,
ὁποῖον πρώτως, κυρίως ἀκροτάτως,
ἁπαξαπάντων ὡς ἁπλούστατον πέλει,
καὶ τοῦτο οὐδὲν, ἄλλο τῶν ὄντων λέγει,
εἰμὴ γε ἡ ὕψιστος, πανυπερτάτη
οὐσία ὑπέρφωτος, ἡ ἀΐδια,
καὶ μακάριστος, καὶ ὑπερτάτη ἄγαν,
ἡ κινέουσα, ἀκινήτως τὰ κάτω,
καὶ συνέχουσα, ποιέουσά τ' ἐμμένειν.
Ὡς ἄρα φαίνεται, ἐξυμνεῖ θεῖον μέγα,
θεηγορῶν κάλιστα ὡς τῶν πατέρων,
εἷς τῶν ἀρίστων, τῇ δε ὁ Σταγειρίτης,
πέρας δίδωσι τῆς βίβλου ταύτης πάσης,
καὶ κλῆρον ἀφίησι, ταύτην ὡς τέκνοις,
ἄμμιν ὄφλημα, ἐξυμνεῖν κυδαλίμως,
λόγοισι τοῦτον, καὶ στεφάνους ἐμπλέκειν,
στέφειν τε κάρην, τὴν ἀνευροῦσαν τόσα,
βασανίσασαν, τὰ φύσιος κρυφία
χ' ἀναπτάσαν μέχρι τε τῶν ἀϊδίων
ὄντων ἀρρήτων, ἀκαταλήπτων πάνυ.

Ἐδωρήθη παρὰ τοῦ ἐν Σμύρνῃ Ἑλληνικοῦ Νοσοκομείου.

Α—19.

(19) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 496 καὶ ἐποχῆς τῶν πρώτων ἐτῶν τοῦ ἐνεστῶτος αἰῶνος. «Πηδάλιον τῆς νοητῆς νηὸς, τῆς μιᾶς, ἁγίας Καθολικῆς, καὶ ἀποστολικῆς τῶν ὀρθοδόξων ἐκκλησίας, ἤτοι

1) Ἀνέκδοτοι. Ὅρα Ζαβίρα, Νέα Ἑλλὰς σ. 315. Ἀντίγραφα αὐτοῦ σώζονται καὶ ἐν τῇ ἐν Κ[πό]λει βιβλιοθήκῃ τοῦ Μετοχίου τοῦ Π. Τάφου. Σάθα, Μεσ. Βιβλ. Α'. σ. 299.

ἅπαντες οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τῶν τε ἁγίων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων οἰκουμενικῶν Συνόδων, καὶ τῶν τοπικῶν καὶ τῶν κατὰ μέρος θείων πατέρων, ἑλληνιστὶ ἐκτιθέμενοι, διὰ δὲ τῆς καθ' ἡμᾶς κοινοτέρας διαλέκτου ἑρμηνευόμενοι, νῦν πρῶτον τύποις ἐκδοθέντες καὶ μετ' ἐπιμελείας διορθωθέντες, διὰ φιλοτίμου δαπάνης τοῦ τιμιωτάτου καὶ εὐγενεστάτου ἄρχοντος . . . εἰς κοινὴν τῶν ὀρθοδόξων ἁπάντων σοφῶν τε καὶ ἁπλουστέρων ὠφέλειαν.»

Δῆλον δὲ ἐκ τοῦ τίτλου ὅτι τὸ χειρόγραφον τοῦτο τεῦχος εἶναι ἀντίγραφον τοῦ ἐν Λειψίᾳ τῷ 1800 ἐκδοθέντος Πηδαλίου παρ' Ἀγαπίου ἱερομονάχου τοῦ Κρητὸς καὶ Νικοδήμου τοῦ Ἁγιορείτου.

Α—20.

(20) Εἷς δεύτερον μικρὸν, ἐκ φύλλων 348 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος. Περιέχει δὲ ἀνωνύμως τὴν Εὐγενίου τοῦ Βουλγάρεως Θεολογικὴν συγγραφὴν, ἣν ἐκ πλημμελοῦς ἀντιγράφου ἐξέδοτο ὁ ἐν Βιέννῃ ἐλλόγιμος ἀρχιμανδρίτης κ. Ἀγαθάγγελος Λοντόπουλος. Προτέτακται δὲ τῆς συγγραφῆς «τοῦ σοφολογιωτάτου ἐν διδασκάλοις κυρίου κυρίου Ἀθανασίου τοῦ Παρίου προοίμιον εἰς ἅπασαν τὴν θεολογικὴν ταύτην πραγματείαν, ἐν τέσσαρσι βιβλίοις διῃρημένην παρὰ τοῦ συγγραφέως, ἐν οἷς ὑποσημειώσεις τοῦ αὐτοῦ κυρίου Ἀθανασίου.» 1)

Α—21.

(21) Εἷς 2ον, ἐκ φύλλων 126 καὶ ἐποχῆς τοῦ ις' αἰῶνος.

Φύλλ. 1—52 περιέχουσι τὰς εἰς τὴν ἑξαήμερον ὁμιλίας Βασιλείου τοῦ Μεγάλου 2), ἀρχομένας ἐν τῷ τεύχει ἔκ τινος χωρίου τῆς δευτέρας τῶν ὁμιλιῶν τούτων, ἤτοι ἐκ τοῦ «μέντοι καὶ μήπω φωτὸς γεννηθέντος.»

Φύλλ. 53—65. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας λόγος (Αος καὶ Βος) περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως» 1)

Φύλλ. 66—120 «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης, εἰς τὰ ἐπίλοιπα τῆς ἑξαημέρου»

Φύλλ. 121—124. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδο[κίας εἰς] τὴν ἀρχὴν τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.»

1) Περὶ τοῦ χειρογράφου τούτου ἔπιθι καὶ τὸ ἐν «Ὁμήρῳ» 1877 σ. 28—31 δημοσιευθὲν ὑπ' ἐμοῦ ἄρθρον.

2 Ὅρα περὶ αὐτῶν *Fabr. B. Gr. VIII*, σ. 69. — Κ. Κοντογόνου, ἱστορία φιλολογικὴ καὶ κριτικὴ τῶν Πατέρων. Β'. σ. 376.

Α—22.

(22) Εἷς φύλλον μικρόν· σύγκειται δὲ ἐκ σελίδων 12 περιεχόντων «*Recueil de quelques notes sur les cotons en laine redigè à Smyrne le 15 juin 1819*.»

Ἐδωρήθη παρὰ τοῦ κ. Ε. Α. *de Andria*.

Α—23.

(23) Εἷς δεύτερον, ἐκ φύλλων ἑκατὸν ὀκτὼ καὶ ἐποχῆς τοῦ ιή αἰῶνος· περιέχει δὲ τὰς ἐν Κ[πόλει τῷ 1804 ἐκδοθείσας ἐπιστολὰς Ἀλεξάνδρου Μαυροκορδάτου τοῦ ἐξ Ἀπορρήτων ἐν τεύχει ἐπιγεγραμμένῳ «Ἐπιστολάριον.»

Α—24.

(24) Εἷς δεύτερον, ἐκ φύλλων 142 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος. «Ἀλεξίου Σπανοῦ τοῦ ἐξ Ἰωαννίνων 2) περὶ τῆς ποιητικῆς, εἴτουν στιχουργίας.» Ἰδοὺ τὸ προοίμιον τῆς ἀνεκδότου ταύτης μετρικῆς.

«Περὶ τῆς ποιητικῆς ὡς ἐν προοιμίῳ βουλομένοις ἡμῖν ὀλίγ' ἄττα προανακρούσασθαι, ἔδοξε διὰ τοῦ ὁρισμοῦ δηλῶσαι ταύτης τὴν ἰδιότητα, ὅπως εἰς κατάληψιν ὡς

1) *Fabr.* ἔνθ. ἀνωτ. σ. 70

2) Ὅρα περὶ αὐτοῦ Ζαβίρα, Ἑλλ. Θέατ. σ. 180—Κ. Σάθα, Νεοελλ. Φιλολ. σ. 465.

οἷόν τε οἱ νέοι εὐμαρέστερον εἰσέλθωσι· πάσης γὰρ ἐπιστήμης ἢ τέχνης καὶ παντὸς πράγματος ἡ ὀντότης καὶ ἀξιότης διὰ τοῦ ὁρισμοῦ κατάδηλος γίνεται. Ἔστι τοίνυν ἡ ποιητικὴ τέχνη, ὡς ἐκ τοῦ ά καὶ β΄ κεφ. ἐν τῷ περὶ ποιητικῆς τοῦ Ἀριστοτέλους συνάγεται μίμησις πράξεως σπουδαίας ἢ φαύλης ἢ ὁμοίας πράγμασι διαφόροις, τέλος ἔχουσα τὴν προτροπὴν διαφόρως ἐπὶ τὸ βέλτιον. Ἐν ταύτῃ τῇ προτεθείσῃ τῆς ποιητικῆς τέχνης περιγραφῇ, γένους μὲν χώραν ἐπέχει ἡ μίμησις, οὐ γὰρ ἡ ποιητικὴ μόνη μίμησίς ἐστιν, ἀλλὰ καὶ ἄλλαι, οἷον ἡ αὐλητική, ἡ κιθαριστική, ἡ ὀρχηστική, κατὰ τὸν Ἀριστοτέλην ἐν κεφ. ά περὶ ποιητικῆς, διαφορᾶς δὲ τόπον ἐπέχει τὰ λοιπά. Καὶ διὰ μὲν τῆς σπουδαίας πράξεως δηλοῦνται πάντα τὰ ἡρωϊκὰ ποιήματα, διὰ δὲ τῆς φαύλης, αἱ κωμῳδίαι, αὗται γὰρ ἀεὶ περὶ φαύλας ὑποθέσεις καταγίνονται, εἰς ἔλεγχον τῶν ταύτας μετερχομένων· διὰ δὲ τῆς ὁμοίας, αἱ τραγῳδίαι, αὗται γὰρ περί τε τὰς σπουδαίας καὶ φαύλας πράξεις καταγινόμεναι, τὰς συμφορὰς τῶν ἀνθρώπων παριστῶσιν ἐν πράγμασι διαφόροις· πασῶν δὲ τέλος τὸ σκοπιμώτατον τοὺς ἀκούοντας ἐπὶ τὸ βέλτιον προτρέπειν, διὸ καὶ τὸ διαφόρως ἐν τῇ περιγραφῇ προστεθείσεται ὅτι ὁ μὲν ῥαψῳδῶν δι' ἐπαίνων μετέρχεται, ὁ δὲ κωμῳδῶν διὰ ψόγων, ὁ δὲ τραγῳδῶν διὰ τῶν συμφορῶν, οἱ πάντες δὲ κοινῶς κατὰ μίμησιν τῶν πραχθέντων· ὅθεν καὶ κατὰ τὸν Ἀριστοτέλην ἐν κεφαλαίῳ γ΄ περὶ ποιητικῆς, καὶ δράματα καλεῖσθαί τινες αὐτά φασὶν ὅτι μιμοῦνται δρῶντας.

«Αὕτη ἡ ποιητικὴ τέχνη τοῖς πάλαι τῶν ἑλλήνων σοφοῖς φιλοσοφία τις πρώτη ἐδόκει, εἰσάγουσα εἰς τὸν βίον τὸν ἄνθρωπον, διδάσκουσα πᾶν πάθος καὶ ἦθος, καὶ πᾶσαν πρᾶξιν μεθ' ἡδονῆς· ὅθεν καὶ τοὺς παῖδας διὰ ταύτης ἐπαίδευον πρῶτον, σωφρονιστὰς τοὺς ποιητὰς τεκμαιρόμενοι, οἷα δὴ τῇ ποιητικῇ πᾶσαν πρᾶξιν, μάθησίν τε καὶ τέχνην ἅπασαν ἐκπεριεχομένην παριστῶσι πρὸς τοὺς ἀνθρώπους ἅπαντα μείλιχα, εὐπαράδεκτα, ἡδέα, καὶ τὸ ἄπιστον πολλάκις ἐκ φύσεως πιστὸν εἶναι τεχνευομένη καὶ τὸ ψευδὲς ὥσπερ ἀληθὲς μετερχομένη· ὃ δὴ καὶ Ἡσίοδος ἀποφαινόμενος λέγει ἐν Θεογονίᾳ

Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα
Ἴδμεν δ' εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.

Ὅθεν καὶ ὁ Θεολόγος Γρηγόριος ταυτησὶ τῆς ποιητικῆς τέχνης τὸ συμφέρον καὶ τὴν λυσιτέλειαν ἣν παρέχει τοῖς ταύτην μετερχομένοις νέοις ἐμφαίνων ἐν τοῖς ἐμμέτροις δι' ἰαμβικῶν οὕτω φησὶ στίχων

Τί οὖν πέπονθα; τοῦτ' ἴσως θαυμάζετε
πρῶτον μὲν ἠθέλησα τοῖς ἄλλοις καμὼν
οὕτω παιδεῦσαι τὴν ἐμὴν ἁμαρτίαν
ὡς ἂν γράφων γε ἀλλὰ μὴ πολλὰ γράφω
καμὼν τὸ μέτρον· δεύτερον δὲ τοῖς νέοις,
καὶ τῶν ὅσοι μάλλιστα χαίρουσι λόγοις
ὥσπερ τι τερπνὸν τοῦτο δοῦναι φάρμακον
πειθοῦς ἀγωγὸν εἰς τὰ χρησιμώτερα
τέχνῃ γλυκάζων τὸ πικρὸν τῶν ἐντολῶν.

Καὶ παρακατιὼν

Τίς οὖν βλάβη σοι τοὺς νέους δι' ἡδονῆς
σεμνῆς ἄγεσθαι πρὸς Θεοῦ κοινωνίαν;
οὐ γὰρ φέρουσιν ἀθρόαν μετάστασιν.
Νῦν μέν τις ἔστω μῖξις εὐγενεστέρα
πῆξιν δ' ὅταν τὸ καλὸν ἐν χρόνῳ λάβῃ,
ὑποσπάσαντες ὡς ἐρείσματ' ἁψίδων
τὸ κομψόν, αὐτὸ τ' ἀγαθὸν φυλάξωμεν.
Τουτὶ τί ἂν γένοιτο χρησιμώτερον;
σὺ δ' οὐ τὰ ὄψα τῷ γλυκεῖ παραρτύεις;
ὦ σεμνὲ καὶ σύναφρυ καὶ συνηγμένε
τί οὖν κακίζεις τὴν ἐμὴν εὐμετρίαν,
τοῖς σοῖς μέτροις σταθμώμενος τὰ τῶν πέλας;

«Τὸ εἶναι ταύτης τῆς ποιητικῆς τέχνης συνέστηκεν ἐκ τριῶν τουτωνί, ἱστορίας, διαθέσεως καὶ ἡδονῆς· ἐξ ἱστορίας μὲν ὅτ' ἐστὶν ἡ ἀλήθεια, οἷον ὁ περὶ τῶν νέων κατάλογος τοῦ Ὁμήρου, ἤτοι τὰ βιωτικά· ἐκ διαθέσεως δέ, ὅτ' ἡ ἐνέργεια καὶ ἡ πρᾶξις, ὡς ὅτε μαχομένους παρεισάγει τοὺς ἥρωας, Ἕλληνας τε δηλαδὴ καὶ Τρῶας· ἐξ ἡδονῆς δέ, ἡνίκα εἰσὶν οἱ μῦθοι, ὡς ὅταν εἰσάγει

τοὺς περὶ θεῶν μύθους, δι' αὐτῶν καθηδύνων τὴν ποίησιν. Ἰδέας δὲ λόγων ταύτης τῆς ποιητικῆς τρεῖς ἔφηναν οἱ παλαιοί, τὴν μιμητικήν, ἣν καὶ δραματικὴν φασι, τὴν ἀμίμητον καὶ μικτήν· καὶ κατὰ μὲν τὴν μιμητικὴν ὁ Ὅμηρος πρῶτος συνεγράψατο, εὐδοκιμῶν συνεχῶς τῶν εἰς μίμησιν ὑποκειμένων προσώπων· κατὰ δὲ τὴν ἀμίμητον Θέογνις καὶ Φωκυλίδης, ἀμφότεροι γὰρ ἠθικῶς μετερχόμενοι πράξεις, ἤθη ἢ τρόπους, μηδενὸς κατὰ μίμησιν ὑπέφηνον· κατὰ τὴν μικτὴν δὲ Ἡσίοδος, εἴς τε τὸν Πέρσην ἠθικῶς ἔργα καὶ ἡμέρας συνεγράψατο, καὶ τὴν ἀσπίδα Ἡρακλέους κατὰ μίμησιν.

«Ταύτην δὲ τὴν ποιητικὴν τέχνην εἰς τρία εἴδη τὰ γενικώτατα διαιροῦσιν, εἰς ῥαψῳδίαν, κωμῳδίαν καὶ τραγῳδίαν· καὶ τῇ μὲν ῥαψῳδίᾳ ἐμπεριλαμβάνουσι πάντα τὰ ἡρωϊκὰ ποιήματα, οἷον τὰ τοῦ Ὁμήρου, Ἀππιανοῦ, Ἀπολλωνίου, καὶ ἄλλων τοιαῦτα καὶ τοὺς τῶν τοιούτων ποιητὰς ῥαψῳδοὺς ἔλεγον· ἐκλήθη δὲ ῥαψῳδία, ὡς δοκεῖ τοῖς δοκιμοτέροις, διὰ τὸ κατὰ συνθήκην τεχνικὴν ῥάπτεσθαι τὴν ᾠδήν, περὶ ἧς εὐνοίας εἰσάγεται Ἡσιόδου ῥῆσις τοιαύτη ἐν μέτρῳ ἡρωϊκῷ

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν.

ἐν ταῖς παρεκβολαῖς Εὐσταθ. Ἰλ. α, καὶ ἐν τοῖς σχολίοις Πινδάρου Νεμ. εἴδει β', ἔνθα ὁ αὐτός τε Πίνδαρος ἐκ τοῦ ῥάπτειν τὴν ᾠδὴν κληθῆναι τὴν ῥαψῳδίαν ἀποφαίνεται οὕτω γράφων

ὅθεν περ καὶ Ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πολλ' ἀοιδοί.

«Τινὲς ἔμπης καὶ παρὰ τὴν ῥάβδον ἐθέλουσι ῥαψῳδίαν κληθῆναι, ὥσπερ τις ῥαβδῳδία οὖσα, ἀκολουθοῦντες Καλλιμάχῳ οὕτως εἰπόντι «καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινώμενον, διηνεκὲς ἀείδω δεδαημένος» εἰς τὰς Παρεκβολὰς Εὐσταθ. Ἰλ. α, καὶ ἐν τοῖς σχολίοις Πινδάρου Νεμ. εἴδει β'. Καταγίνεται δὲ αὕτη ἡ ῥαψῳδία περὶ τὰς ἡρωϊκὰς πράξεις καὶ ἱστορίας, καὶ μύθους τῶν ἑλλήνων θεῶν, εἰς πᾶσαν ἄλλην ἀρετὴν καὶ ἀξιότητα ἐναρέτων ἀνδρῶν, καὶ τοῦ παντὸς κόσμου· τῇ δὲ κωμῳδίᾳ ἐμπεριλαμβάνονται ἅπασαι αἱ κωμῳδίαι, οἷον τοῦ Ἀριστοφάνους καὶ Μενάνδρου, καὶ ὃν φασὶν Ὁμήρου Μαργίτην· ἐκλήθη δὲ οὕτως, ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος ἤτοι τοῦ ὕπνου, ἢ ὅτι ἐν τοῖς κώμοις τοῦ Διονύσου πρῶτον εὑρέθη, ἢ ὡς φαίνεται ἐν τοῖς ὑπομνήμασι τοῦ Ἀριστοφάνους «τὴν κωμῳδίαν ηὑρῆσθαί φασι ὑπὸ Σουσαρίωνος· τὴν δὲ ὀνομασίαν ἔχει ὁ μὲν ὅτι ἐπὶ τὰς κώμας πεμόντες ᾖδον καὶ ἐπεδείκνυντο μήπω πόλεων οὐσῶν, ἀλλ' ἐν κώμαις οἰκούντων τῶν ἀνθρώπων, οἱ δὲ ἀντιλέγοντές φασι μὴ κώμας καλεῖσθαι παρ' Ἀθηναίοις ἀλλὰ δήμους, καὶ κωμῳδίαν αὐτὴν καλοῦσιν, ἐπεὶ ἐν τοῖς ὁδοῖς ἐκώμαζον.» Ταύτην ὁ Ἀριστοφάνης Ἀχαρν. καὶ τρυγῳδίαν καλεῖ οὕτω γράφων «μέλλω περὶ τῆς πόλεως τρυγῳδίαν ποιῶν.» Καλεῖ ταύτην τραγῳδίαν, κατὰ τὸν αὐτοῦ ὑπομνηματιστὴν εἰς τὸ αὐτό, διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι, τουτέστι νέον οἶνον· καταγίνεται δὲ αὕτη ἡ κωμῳδία περὶ γέλωτας καὶ σκώμματα. Τῇ δὲ τραγῳδίᾳ ἐμπεριλαμβάνονται πᾶσαι αἱ τραγικαὶ πράξεις, οἷον αἱ τοῦ Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδους καὶ ἄλλων· ἐκλήθη δὲ οὕτω ἀπὸ τοῦ τράγου ἢ τρύγα, τουτέστι νέον οἶνον λαμβάνειν, ἢ ἀπὸ τοῦ τρυγὶ χρίεσθαι τὰ πρόσωπα κατ' ἀρχὰς τοὺς ὑποκριτάς, ἢ ἀπὸ τοῦ τετραγώνως ἵστασθαι, τετραγῳδία, ἢ ἀπὸ τοῦ τραχείας ᾠδὰς ἔχειν τοὺς θρήνους τραχῳδία, τραγῳδία, ἢ ἀπὸ τοῦ τραγᾷν, ὃ δηλοῖ τὸ βαρέως βοᾷν, ἐπὶ τοὺς θρήνους. Τὸν ἀγῶνα δ' αὕτη ποιεῖται περὶ τὰς μεγίστας συμφοράς. Τούτων δὲ καὶ τῶν τριῶν εἰδῶν τῆς ποιητικῆς τέχνης πρῶτος ὑφηγητὴς Ὅμηρος ἐφάνθη κατὰ τὸν Ἀριστοτέλη κεφ. γ' τῆς ποιητικῆς οὕτω λέγοντα «Τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς εἴχομεν εἰπεῖν τοιοῦτον ποίημα, εἰκὸς εἶναι πολλούς· ἀπὸ

δὲ Ὁμήρου ἀρξαμένοις ἐστὶ καὶ μετὰ τοῦτα· ὥς περ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν (μόνος γὰρ οὐχ ὅτι ἦ, ἀλλ' ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν) οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δράματι ποιήσας· ὁ γὰρ μαργίτης ἀνάλογον ἔχει, ὥς περ Ἰλιὰς καὶ Ὀδυσσεία πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας.»

«Οἱ νεώτεροι τὴν ποιητικὴν τέχνην διαιροῦσι καὶ εἰς ἕτερα πλείω εἴδη παρὰ τὰ τρία ταῦτα, εἰς τὴν λυρικήν, διθυραμβικήν, ἰαμβογραφικήν, ὑμνογραφικήν, ἐπιθαλαμογραφικήν, ἐπιγραμματογραφικήν, ἐλεγειογραφικήν, μονωδίαν, καὶ εἰς ἄλλα πλείω εἴδη, ἅττα περιττά ἐστι καὶ γράφειν, ἐπεί περ εἰς ὅσα ἂν εἴδη τὴν διαίρεσιν ταύτην πάντα ἐπὶ τὰ ἀνωτέρω τρία εἴδη ὑπάγονται. Ὑπὸ μὲν τὴν ῥαψῳδίαν ὑπάγεται ἡ μονῳδία, ἥτις μονοπροσώπως τὰ γεγονότα ἢ τὰ γενησόμενα διεξέρχεται. Ἡ ἐπιθαλαμογραφία, ἥτις ἐγκώμια γράφει εἰς τοὺς νυμφίους, ἅπερ ἐπιθαλάμια λέγεται, ὧν τινὰ μὲν ᾄδεται ἑσπέρας, ἅττα λέγεται κατακοιμητικά, ᾄδεται δὲ ἐφ' ἑσπέρας ἕως μέσης νυκτός, τινὰ δὲ ὄρθρια, ἃ καὶ διεγερτικὰ προσαγορεύεται· ταῦτα δὲ τὰ ἐπιθαλάμια πρὸ τοῦ θαλάμου αἱ παρθένοι ᾖδον, ἵνα τῆς παρθένου ὑπὸ τοῦ ἀνδρὸς βιαζομένης, ἡ φωνὴ μὴ ἐξακούηται, λανθάνῃ δὲ διακρυπτομένη διὰ τῆς τῶν παρθένων φωνῆς· ἡ ὑμνογραφία, ἥτις ὕμνους εἰς θεοὺς γράφει· ἡ ἐπιγραμματογραφία, ἥτις καὶ ἀναθηματικὴ λέγεται, γράφει εἰς ἀνδριάντας, εἰκούς, ἀξίους τε ἄνδρας, βίβλους, καὶ εἰς τὰ ἐν ναοῖς ἀναθήματα, καὶ εἰς ἕτερα τοιαῦτα, ἐπιγράμματα· ἡ λυρική, ἥτις περιέχει πάντα τὰ διὰ λύρας ᾀδόμενα ποιήματα· ὑπὸ δὲ τὴν κωμῳδίαν ὑπάγεται ἡ διθυραμβική, ἥτις πολυστρόφως πλέκει εἰς Διόνυσον ᾄσματα, ὀρχήσεις μετὰ μέθης ἀσελγῆ ᾄσματα, καὶ πορνικὰ ᾄδουσα· διθυραμβικὴ δὲ ἐκλήθη ἀπὸ τοῦ Διονύσου τοῦ διὰ δύο θυρῶν ἐκβάντος, τῆς τε γαστρὸς τῆς Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός, ἢ ἐν διθύρῳ ἄντρῳ τῆς Νύσσης τραφέντος· ἡ ἰαμβογραφική, ἥτις περὶ τὰς λοιδορίας καταγίνεται δι' ἰάμβων (ἰαμβίζειν γὰρ ἐστὶ τὸ ὑβρίζειν, καὶ ἴαμβος ἔμμετρός ἐστι λοιδορία) καταχρηστικῶς δὲ καὶ δι' ἑτέρου οἱουδή τινος μέτρου· ὑπὸ δὲ τὴν τραγῳδίαν ὑπάγεται ἡ σατυρική, ἥτις περὶ τὰς συμφορὰς τῶν ἀνθρώπων καταγίνεται· διαφέρει ἔμπης τῆς τραγῳδίας ὅτι ἡ μὲν τραγῳδία θρήνους μόνον καὶ οἰμωγὰς περιέχει· ἡ δὲ σατυρικὴ συγκιρνᾶται ταῖς ὀλοφύρσεσι καὶ ἱλαρότητι καὶ ἀπὸ δακρύων εἰς χαρὰν τελειοῖ· σατυρικὴ δὲ ἐκλήθη ἀπὸ τῶν Σατύρων, τῶν εὑρόντων αὐτὴν γεωργῶν καὶ εὐτελῶν ἀνθρώπων ἢ διὰ τὸ τοὺς ᾄδοντας ταύτην ἀρχομένους μιμεῖσθαι τοὺς Σατύρους. Τὰς ἀρχὰς δὲ αὕτη ἡ σατυρικὴ κατὰ τὸν Εὐστάθ. Ὀδυσ. Σ ἔλαβεν ἐκ τῆς τοῦ Ὁμήρου Ὀδυσσείας «λογιστέον δὲ φησὶ καὶ ὡς ἐκ τῆς ὀδυσσειακῆς εὐμεθόδου συλλογραφίας ὅπερ παρήκοι παραμιγνείσης ἀστεῖα σπουδαίοις, εἰκὸς ἐπινοηθῆναι τοῖς ὕστερον τὴν σατυρικὴν ποίησιν, ἧς τὴν μέθοδον δηλοῖ ὁ μέχρι νῦν εὑρισκόμενος Εὐριπίδειος, κύκλωψ· ἔστι δὲ κατὰ τοὺς παλαιοὺς σατυρικοῦ ἴδιον τὸ μέσον εἶναι τραγικοῦ καὶ κωμικοῦ, ὃ δὴ κατάρξας ὑπέδειξεν Ὅμηρος ἡρωϊκῇ σεμνότητι καὶ ἐμβριθείᾳ παραμιγνὺς εὐτράπελον γαληνότητα.» Ἡ ἐλεγειογραφία, ἥτις ὀλοφύρους καὶ οἴκτους ἐν ἐλεγείῳ τῷ μέτρῳ γράφει κυρίως, καταχρηστικῶς δὲ καὶ ἐν ἑτέρῳ.

«Ταύτης δὲ τῆς ποιητικῆς τέχνης ὑποκείμενον περὶ ὃ καταγίνεται πάντα τὰ γεγονότα καὶ πράγματα καὶ τὰ δυνάμενα γενέσθαι. Τρόποι δὲ δι' ὧν ἡ ποιητικὴ συντελεῖται τρεῖς εἰσί· πρῶτος ἡ τῶν συλλαβῶν ποσότης, β′ τὰ μέτρα, καὶ γ′ τὸ ποίημα, τουτέστιν ὁ ἡδυσμένος λόγος, ὁ ἔχων ῥυθμόν, ἁρμονίαν, καὶ μέλος, καὶ ὅ,τι ἄλλο παρόμοιον, περὶ ὧν ἅπασα ἡμῖν ἡ ἑξῆς πραγματεία τολιπεύεται, εἰς τρία διαιρεθεῖσα κατὰ τὸν ἀριθμὸν τῆς ποιητικῆς τέχνης τῶν ῥηθέντων τρόπων, παρὰ διαφόρων συγγραφέων μεθ' ὅσης τῆς ἐπιμελείας συλλεχθεῖσα, ἑνὶ ἑκάστῳ κανόνι τε καὶ λέξει παράδειγμα ὑπὸ ποιητῶν ἔχουσα, οὐχ ὡς ἐ-

κείνου μόνου τοῦ ποιητοῦ (οὗτινος ὁ στίχος εἰς παράδειγμα εἰσάγεται) οὕτω χρησαμένου, ἀλλ' εἰς ἐμπέδωσιν τοῦ λόγου ἑνὸς μόνου στίχου παριστάνουσα, οὗ περ ἡμεῖς τὰ ἐκείνων ποιήματα ἀναγινώσκοντες, ἔνδειξιν καὶ ἀσφάλειαν τῶν ἐν τῇ παρούσῃ πραγματείᾳ ἐρανισθέντων ζητοῦντες εὑρίσκομεν. Δεῖ δὲ τὸν βουλόμενον ἐντελῶς κατὰ ποιητὰς γράφειν, τέτταρα ταῦτα ἐν πᾶσι τῆς ποιητικῆς εἴδεσιν ἐπιμελέστατα φυλάττειν· ά παλαιὰν ἱστορίαν, β' μῦθον ἀλληγορικόν, γ' λέξιν ποιὰν καὶ ἀξιωματικήν, δ' καὶ τελευταῖον τὸ προσῆκον μέτρον. Ἡμῖν πάντας τοὺς ἀναγινώσκοντας ταύτην τὴν πραγματείαν συγγνώμην παρέχειν ἡμαρτηκόσι τύπον ἐγνωκότας, τὸ ἡμέτερον ἐλλειπὲς διὰ τῆς ἑαυτῶν ἐπιεικείας ἀναπληροῦντες· ἔστι γὰρ μεγάλη, καὶ ὡς εἰπεῖν, ἄπειρος σχεδὸν ἡ τῶν ποιητῶν ἀπολελυμένη ἄδεια, ὅθεν καὶ δηλίου δεῖται κολυμβητοῦ κατὰ τὴν παροιμίαν.»

Α—25.

(25) Εἰς 2ον ἐκ φύλλων 209 καὶ ἐποχῆς τοῦ ιζ' αἰῶνος· περιέχει δὲ ἀνωνύμως τὰς ἑξῆς εἰς τὸν Ἀριστοτέλη πραγματείας Θεοφίλου Κορυδαλέως, φιλοκάλως γεγραμμένας καὶ μετὰ πολλῶν ἐν τοῖς περιθωρίοις σχολίων

Φύλλ. 1—48. Ἔκθεσις εἰς τὴν λογικὴν πραγματείαν

Φύλλ. 49—98. Ὑπόμνημα εἰς τὰς ί κατηγορίας τοῦ Ἀριστοτέλους.

Φύλλ. 99—119. «Εἰς τὸ περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους ὑπόμνημα.»

Φύλλ. 120—142α. «Εἰς τὰ πρότερα ἀναλυτικά.»

Φύλλ. 142β—161. «Εἰς τὰ ὕστερον ἀναλυτικά.»

Φύλλ. 162—209 περιέχουσιν ἁπάσας τὰς ἀνωτέρω πραγματείας συνοπτικώτερον ἐν ἐρωτήσεσι καὶ ἀποκρίσεσι· προηγεῖται δὲ αὐτῶν τὸ ἑξῆς προοίμιον «Οὐδὲν οὕτω τοῖς ἀνθρώποις τίμιον ἐν τῷ μετὰ σώματος βίῳ, ἀλλ' οὐδ' ἐπωφελές, μᾶλλον δ' ἀναγκαῖον εἰς εὐζωΐαν, ὡς ἡ φιλοσοφία, τοῖς τε καὶ μικρὸν νοῦ μετεσχηκόσι καὶ ὁπωσοῦν εἰς ἔννοιαν ἐλθοῦσι καλοῦ, ὡμολόγηται. Εἰς δὲ φιλοσοφίαν ἐπίβασιν εἴσοδός ἐστι μία ἡ διὰ τῆς λογικῆς μεθόδου φέρουσα, οὕτως ἀναγκαία, ὡς τῷ αὐτῷ μέτρῳ τὴν φιλοσοφίαν τοῖς μαθητιῶσι μετρεῖσθαι ὅσῳ καὶ τῆς μεθόδου ταύτης ἔτυχεν ἕκαστος εὐμοιρήσας· ὅτου χάριν καὶ ὑμῖν γλιχομένοις ἐπὶ τὰ ἀνακτόρια προχωρῆσαι τῆς φιλοσοφίας τῆς τοιαύτης μεθόδου δεῖ, ἣν τό γε νῦν ἔχον εἰσαγωγικότερον ὑμῖν ἐκθησόμεθα, ἐφ' ὅσον τό γε ἀγύμναστον τῆς ὑμετέρας καταλήψεως καὶ τὸ κατεπεῖγον τῆς ὥρας ἀπαιτεῖ· ἵνα δὲ τὸ συνοπτικὸν ὑμῖν μὴ καὶ συνεπτυγμένον εἰς τὸ παντελὲς γένηται καὶ ἐκτὸς σαφηνείας δεῖν ἔγνων παραδοτέα εἶναι τὰ δοκοῦντα κατ' ἐρώτησιν καὶ ἀπόκρισιν.»

Ἐν ἀρχῇ τοῦ τεύχους ἄνω μὲν ἐν τῷ περιθωρίῳ ὑπάρχουσιν αἱ ἑξῆς σημειώσεις τοῦ ἀντιγραφέως «Τριάς, παράσχοις τέρμα τῷ δε τῷ πόνῳ. Ἶσον θεῷ προτίθημι τὸν στέργοντά με, τὴν γνῶσιν αὐτῷ τῶν ὅλων δωρουμένη.» Κάτω δὲ τὸ ἑξῆς σημείωμα ἑνὸς τῶν πρώτων τοῦ τεύχους κατόχων. «Καὶ τόδε πρὸς τοῖς ἄλλοις Ἀθανασίου Λινδίου καὶ τῶν φίλων· ἠγοράσθη δὲ παρὰ τῆς μονῆς τοῦ Ξηροποτάμου παρὰ τοῦ προηγουμένου κὺρ Μακαρίου.» Εἰς δὲ τὸ τέλος τοῦ ὕστερον ἀναλυτικὰ ὑπομνήματος ὑπάρχει τὸ ἑξῆς ἰαμβικόν

Ἐνυπόστατε Πατρὸς τοῦ Θεοῦ Λόγε,
ὁ πᾶσι διδούς, σὴν χάριν αἰτουμένοις,
νέμω δόξαν σοι, καταξιώσαντί με,
ἰδεῖν πρῶτον νῦν, τοῦ πονήματος τούτου,
καὶ τοῦ ἑξῆς τυχεῖν με, εἴθε ὡσαύτως.

Ἐδωρήθη παρὰ τοῦ κ. Ἠλία Χανιώτου.

Α—26.

(26) Εἰς 2ον μικρόν, ἐκ φύλλων 395 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος· περιέχει δὲ ἄνευ τίτλου καὶ ἀνωνύμως τὸ ἐν Βουκορεστίῳ ἐκ-

δοθὲν τῷ 1768 ὑπόμνημα Νεοφύτου πελοποννησίου τοῦ Καυσοκαλυβίτου εἰς τὸ τέταρτον βιβλίον τῆς τοῦ Θεοδώρου τοῦ Γαζῆ γραμματικῆς· τὸ περιεχόμενον εἶναι ἀτελὲς κατὰ τὸ τέλος.

Α—27.

(27) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 68, καὶ ἐποχῆς τοῦ παρόντος αἰῶνος Ἀνωνύμου *Journal de voyages en Barbarie et au Levant* 1817—1821.

Ἐδωρήθη παρὰ τοῦ κ. *Et A. de Andria.*

Α—28.

(28) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 10 καὶ ἐποχῆς τοῦ ιζ' καὶ ιή αἰῶνος.

Α' «Ἐπιστολὴ τοῦ παναγιωτάτου κὺρ Γενναδίου, πατριάρχου Κωνσταντινουπόλεως τοῦ Σχολαρίου, πρὸς τὸν τιμιώτατον ἐν μοναχοῖς κὺρ Μάξιμον, καὶ πρὸς τοὺς ἐν Σινᾷ Ὄρει ἱερομονάχους καὶ μοναχούς.» 1)

Β' Αὐτοβιογραφικὴ σημείωσις Μελετίου τοῦ Τενεδίου πατριάρχου καθιστάντος τῷ 1768 *), μεθ' ἣν ἕπονται αἱ ἑξῆς τοῦ αὐτοῦ χρονολογικαὶ σημειώσεις. «Τῷ αψοδ', ἰουλίου ιέ Θεοῦ συναιρουμένου ἐγένετο εἰρήνη τῶν πολέμων ὁποῦ εἶχον αἱ δύω βασιλεῖαι τῶν τε ὀθωμανῶν καὶ τῶν ῥώσσων, γενομένης τῆς συμφωνίας ἐν Σούμλᾳ. Ἐκράτησαν δὲ οἱ τοιοῦτοι φοβεροὶ πόλεμοι ἀπὸ τὸ αψξή ἔτος σεπτεμβρίου κέ ἐξ ὅτου ἐκηρύχθησαν μέχρι τοῦ αψοδ' ἰουλίου ιέ ἤτοι εἰς χρόνους πέντε, μῆνας ἐννέα καὶ ἡμέρας εἴκοσι καὶ μιᾶς. Ὅσα δὲ δεινὰ καὶ χαλεπὰ ἐδοκίμασαν οἱ δυστυχεῖς καὶ ἐλεεινοὶ χριστιανοὶ ἐν αὐτοῖς τοῖς πολέμοις, αἰχμαλωσίας φημὶ, σφαγὰς, παντελεῖς γυμνώσεις, ὑστέρησιν πατρίδος, καὶ ἐξομώσεις, καὶ ἄλλα μυρία δεινὰ, καὶ πέρα δεινῶν, ἐῶμεν λέγειν διὰ τὸ μὴ ἐπιδέχεσθαι γραφεῖν. Κατὰ δὲ τὸ αψοέ ἔτος, ἰουλίου ή ἐγένετο ἡ ἐλευθερία μας διὰ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ, καὶ μετοικίσθημεν ἀπὸ τῆς Μιτυλήνης εἰς τὴν πατρίδα μας Τένεδον. Ἐλθόντες κατὰ τὴν εἰκοστὴν τετάρτην τοῦ αὐτοῦ, δὲν ἐλλείψαμεν τὸ νὰ γράφωμεν συνεγῶς καὶ ἀδιαλείπτως τῷ τε πατριάρχῃ κὺρ Σωφρονίῳ, τῇ ἱερᾷ Συνόδῳ, τοῖς ἐπιτρόποις τοῦ κοινοῦ, καὶ ἄλλοις πολλοῖς ἰδίως ἀρχιερεῦσί τε καὶ ἄρχουσι, δεόμενοι θερμῶς νὰ μᾶς ἐλευθερώσουν ἀπὸ ἐντεῦθεν, καὶ νὰ ἀπέλθωμεν εἰς Βασιλεύουσαν διά τινας κατεπειγούσας ἀναγκαίας μας χρείας, μόλις μετὰ παρέλευσιν ἔτους ἑνὸς, μηνῶν ἐννέα καὶ ἡμερῶν δύω, ἤτοι τῷ αψοζ' ἀπριλλίου κς', ἡμέρᾳ δ' οἴκτῳ χαμφθέντες, ἐλάβομεν τὸν τῆς ἐλευθερίας μας βασιλικὸν ὑψηλὸν προσκυνητὸν ὁρισμὸν, διαλαμβάνων ὅτι νὰ ἀπέλθωμεν εἰς τὴν νῆσον τῆς Ἀντιγόνου εἰς τὴν μονὴν τοῦ ἁγίου Γεωργίου, μετὰ διορίας ἡμερῶν ἑξήκοντα καὶ μιᾶς, καὶ πάλιν νὰ ἐπιστρέψωμεν εἰς τὴν ἰδίαν μας πατρίδα, ἢ λάβωσι πέρας αἱ ὑποθέσεις μας ἢ οὔ· καὶ εἴθε νὰ λάβωσιν ἀγαθὸν πέρας ἐντὸς ὀλίγου, καὶ νὰ ἐπανακάμψωμεν πάλιν εἰς τὰ ἴδια, ὄντες κατὰ πάντα εὐχαριστημένοι εἰς τοῦτο.»

Α—29.

(29) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 75 καὶ ἐποχῆς τοῦ ιζ' αἰῶνος.

«Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως, ἔκθεσις τῆς λογικῆς πραγματείας» κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. Πρβλ. τὸ τέλος τοῦ 25 χειρογράφου.

Α—30.

(30) Εἰς δεύτερον μικρὸν, ἐποχῆς δὲ τοῦ ιή αἰῶνος.

«Στοιχεῖα τῆς μεταφυσικῆς τοῦ ἀββᾶ

1) Ἐξεδόθη ὑπὸ Νεκταρίου ἐν τῇ ἐπιτομῇ τῆς ἱεροκοσμικῆς ἱστορίας. Ἐνετίῃσιν, 1729 σ. 225—232.

*) Ἐξεδόθη τῷ 1864 ὑπὸ Γ. Ἀριστείδου ἐν Πανδώρᾳ τομ. ΙΑ'. σ. 572 κ. ἑ.

Ἀντωνίου τοῦ Γενουηνσίου, ἐκ τῆς Ἰταλίδος μεταφρασθέντα εἰς τὴν ἑλληνίδα, παρὰ τοῦ κυρίου Ἀθανασίου τοῦ Παρίου.» 1) Προηγοῦνται «τοῦ μεταφραστοῦ προλεγόμενα τῆς μεταφυσικῆς, τὰ κατ' αὐτὴν εἰς πλάτος διεξιόντα καὶ προδιαλευκαίνοντα.»

Εἰς τὸ τέλος ὑπάρχει ἡ ὑπογραφὴ τοῦ ἀντιγραφέως «Ἀντωνίου τοῦ ἐξ Ἰθάκης Κασσιανοῦ.»

Α—31.

(31) Εἰς 4ον, ἐκ φύλλων 146 καὶ ἐποχῆς τοῦ ιέ αἰῶνος.

Φύλλ. 1—118 περιέχουσιν ἀνεπιγράφως, (διότι ἐκ τῆς ἀρχῆς ἐλλείπουσί τινα φύλλα) σειρὰν εἰς τὸν μακάριον Ἰὼβ παρὰ Νικήτα τοῦ Σερρῶν· ἄρχεται δὲ ἀπὸ τοῦ ά ἐδαφίου τοῦ β' κεφαλαίου· εἰς τὸ τέλος αὐτῆς ὑπάρχει τὸ ἑξῆς σημείωμα τοῦ ἀντιγραφέως «Θεοῦ τὸ δῶρον, ὁ δὲ πόνος ταπεινοῦ Κωνσταντίνου ἱερέως·»

Φύλλ. 119—121 τὸ προοίμιον τῆς σειρᾶς ταύτης μετὰ τοῦ ἑξῆς τίτλου τοῦ ὅλου συγγράμματος «Συλλογὴ ἐξηγήσεων διαφόρων ἁγίων εἰς τὸν μακαριώτατον καὶ καρτερικώτατον Ἰὼβ, συντεθεῖσα παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Ἡρακλείας κυρίου Νικήτα τοῦ Σερρῶν.» 2)

Φύλλ. 122—146 «Σχόλια εἰς τὴν Πορφυρίου εἰσαγωγὴν ἀπὸ φωνῆς Ἀμμωνίου τοῦ Ἑρμείου· προλεγόμενα εἰς τὴν φιλοσοφίαν πᾶσαν.» 3)

1) Ἐξεδόθησαν ἐν Βιέννῃ τῷ 1802. Ὅρα Μάμουκα παρὰ Κ. Σάθα, Νεοελλ. Φιλολ. σ. 639. Ἀντίγραφον δὲ τούτων σώζεται ἐν Φωκαίᾳ. Ὅρα Ἔκθ. περὶ τῶν ἐν τῇ Βιβλιοθήκῃ τῆς Π. Φωκαίας ἑλλ. χειρογράφων. σ. 7 ἀριθ. ιγ'.

2) Ἐξεδόθη τὸ πρῶτον ἐν Λονδίνῳ τῷ 1637 παρὰ Πατρικίου τοῦ Ἰουνίου. Βλ. *Fabr. Bibl. gr. VII*, σ. 738. Τῷ δὲ 1792 μετετυπώθη ἐν Βενετίᾳ παρὰ τοῦ ἡμετέρου Ἰωάννου Μαρμαροτούρη ἐπιμελείᾳ Γεωργίου Χρυσοφοῦ.

3) Ἐξεδόθη πλειστάκις. Βλ. *Fab. Bibl. Gr. IV*, σ. 163. Ἀντίγραφα δὲ τῶν σχολίων τούτων σώζονται καὶ ἐν τῇ κατὰ Μαδρίτην Βιβλιοθήκῃ τῆς Ἐσκουριάλης. Βλ *Miller*, *Catalogue* σ. 171, 490.

Α—32.

(32) Εἰς δεύτερον μικρὸν, ἐκ σελίδων 302 καὶ ἐποχῆς τοῦ ις' αἰῶνος· περιέχει δὲ 52 λόγους τοῦ κατὰ τὴν δωδεκάτην ἑκατονταετηρίδα ἀκμάσαντος ἐπισκόπου τῆς Ταυρομενίας, Θεοφάνους τοῦ Κεραμέως· 1) μεθ' οὓς ἕπονται τρεῖς «ὁμιλίαι τοῦ Χαλκηδόνος» ὧν ὁ μὲν ά ἐξεφωνήθη τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν, ὁ β' τῇ κυριακῇ πρὸ τῶν Φώτων, καὶ ὁ γ', ἀτελὴς ὤν, τῇ κυριακῇ δ' μετὰ τὰ Φῶτα.

Α—33.

(33) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 138, καὶ ἐποχῆς τοῦ ις' αἰῶνος· περιέχει δὲ Κυρίλλου Ἀλεξανδρείας τὴν εἰς τὸ Ἰωάννου Εὐαγγέλιον ἑρμηνείαν. 2)

Α—34.

(34) Εἰς 4ον, ἐκ φύλλων 230 περγαμηνοῦ καὶ ἐποχῆς τοῦ ιβ' αἰῶνος. Ἐλλειπές· περιέχει δὲ τοὺς ἑπομένους λόγους Γρηγορίου τοῦ Ναζιανζηνοῦ.

1) Λόγος ς' τοῦ αὐτοῦ εἰς Κυπριανὸν τὸν μάρτυρα ἐξ ἀγροῦ ἐπανήκοντα μετὰ μίαν τῆς μνείας ἡμέραν.

1) *Fabr. B. G. X*, σ. 231. — *C. Matthaei, de Theophane Cerameo. Dresdae*, 1782 Ἡ πρώτη τῶν ἁπάντων αὐτοῦ ἔκδοσις ἐγένετο τῷ 1644 ἐν Παρισίοις παρὰ Φραγγίσκου Σχόρσου. Βλ. *Hoffmann, Lexicon Bibliogr. III* σ. 709 Χειρόγραφον δὲ ἀντίτυπον τῶν λόγων αὐτοῦ σώζεται ἐν τῇ ἐν Κ[πολει Βιβλιοθήκῃ τοῦ Π. Τάφου καὶ ἐν τῇ κατὰ Μαδρίτην Βιβλιοθήκῃ. Βλ. *Miller, Catalogue des Manuscrits*, σ. 496·—Κ. Σάθα, Μεσ. Βιβλιοθήκη. Α' σ. 296.

2) Βλ. *Fabr. B. G. VIII*, σ. 564. Τὸ ἀντίγραφον τοῦτο λίαν διαφέρει τῶν ἐκδόσεων· φαίνεται δὲ ὅτι εἶναι ἐπιτομή τις τοῦ ὅλου ἔργου τοῦ Κυρίλλου.

2) [Τοῦ αὐτοῦ εἰς τοὺς λόγους] καὶ εἰς ἐξισωτὴν Ἰουλιανόν.

3) Λόγος θ' τοῦ αὐτοῦ εἰς τὴν πάνσεπτον καὶ πανσεβάσμιον γέννησιν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ.

4) Λόγος ί τοῦ αὐτοῦ ἐπιτάφιος εἰς τὸν μέγαν Βασίλειον.

5) Λόγος ιά τοῦ αὐτοῦ εἰς τὰ ἅγια Φῶτα.

6) Λόγος ιβ' τοῦ αὐτοῦ εἰς Γρηγόριον, τὸν ἀδελφὸν Βασιλείου, ἐπιστάντα μετὰ τὴν χειροτονίαν.

7) Λόγος ιδ' τοῦ αὐτοῦ εἰς Ἀθανάσιον ἀρχιεπίσκοπον Ἀλεξανδρείας.

8) Λόγος ιέ τοῦ αὐτοῦ συντευκτήριος εἰς τὴν τῶν ρν' ἐπισκόπων παρουσίαν.

9) Λόγος ις' τοῦ αὐτοῦ περὶ φιλοπτωχίας.

10) Λόγος ιζ' τοῦ αὐτοῦ ἀπολογητικὸς τῆς εἰς Πόντον φυγῆς ἕνεκεν καὶ αὖθις ἐπανόδου ἐκεῖθεν διὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν, ἐν ᾧ τὸ τῆς ἱερωσύνης ἐπάγγελμα καὶ ποῖον εἶναι δεῖ τὸν ἐπίσκοπον.

11) Φύλλα εἴκοσι καὶ ἓν ἐν τῷ τέλει ἀνήκοντα εἰς διαφόρους τοῦ Γρηγορίου λόγους.

Α—35.

(35) Εἰς 4ον, ἐκ φύλλων 97 καὶ ἐποχῆς τοῦ ις' αἰῶνος. Ἐκ τῆς ἀρχῆς καὶ τοῦ τέλους ἐλλείπουσί τινα φύλλα.

Θεοδώρου τοῦ Γαζῆ γραμματική.

Α—36.

(36) Εἰς 4ον, ἐκ φύλλων 9 καὶ ἐποχῆς τοῦ παρόντος αἰῶνος.

«*Instruction sur le commerce des huiles de la Cannée*» μεθ' ἣν ἕπεται ἐπιστολή τις ἐκ Σμύρνης γαλλιστὶ περὶ τοῦ ἐν Κυδωνίαις τῆς Μικρᾶς Ἀσίας ἐμπορίου τοῦ ἐλαίου. Ἡ πρώτη πραγματεία ἐγράφη «*à la Cannée 5 mars* 1818.» Ἡ δὲ ἐπιστολὴ τὴν 19 Μαρτίου 1818.

Ἐδωρήθη παρὰ τοῦ κ. Ε. Α. *de Andria*.

Α—37.

(37) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 112 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος.

Τέχνη ῥητορικὴ «τοῦ σοφωτάτου καὶ θεολογικωτάτου καὶ ἐν ἰατροῖς ἀρίστου καὶ καθηγεμόνος ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ Γεωργίου Κορέσση.»

Ἐπί τινος ἐν ἀρχῇ φύλλου ἀναγινώσκεται τὸ ἑπόμενον ἐπίγραμμα

Τῆς κατὰ Σμύρνην Σχολῆς ἐστι καὶ τόδε
ἧς ὁ σχολαρχῶν Ἱερόθεος πέλει
τρόφιμος Μουσῶν πασῶν, ὡς οὐδεὶς ἄλλος,
ἐξωρμημένος πατρίδος Ὀδησσῆος,
Ἰθάκης νήσου, κλεινῆς, εὐναιομένης,
φύτλην, γενεὴν, καὶ φρόνησιν οὐχ ἥσσων
Λαερτιάδου, δὸς δ' εἰπεῖν καὶ κρείσσων.

Α—38.

(38) Εἰς 4ον, ἐκ φύλλων 245 καὶ ἐποχῆς τοῦ ιέ αἰῶνος Λόγοι διάφοροι «Πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Καλέκα.» 1)

Εἰς τὸ τέλος τοῦ γ' λόγου ἐν νεωτέρᾳ γραφῇ ὑπάρχει ἡ ἑξῆς σημείωσις «Τοῦ ταπεινοῦ καὶ ἱερομονάχου Μαυρομάτη, ὅπερ ἔλαβεν ἐκ τῆς μονῆς τοῦ προφήτου Ἡλιοῦ εἰς ἀνάγνωσιν αψθ' δεκεμ. κέ.»

Ἐδωρήθη παρὰ τοῦ ἐν Σμύρνῃ Ἑλληνικοῦ Νοσοκομείου.

Α—39.

(39) Εἰς δεύτερον μικρὸν, ἐκ φύλλων 87 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος· περιέχει δὲ

Α' «Ἴσον ἀπαράλλακτον τῆς διαθήκης τῆς θεολογικῆς ὁμολογίας τοῦ σοφωτάτου καὶ ἀοιδίμου φωστῆρος καὶ μεγάλου πατρὸς διδασκάλου κυρίου Ἀναστασίου Γορδίου, τοῦ ἐκ κώμης μεγάλων Βρανιανῶν, ὅστις ἐξέλειπε τῆς παρούσης ζωῆς ἑβδόμῃ τοῦ ἰουνίου μηνὸς, ἐν ἡμέρᾳ σαββάτῳ, ὥρα έ καὶ

1) Βλ. *Fabricii, Bibl. Gr. X.* σ. 495.

ἐτάφη ἐν τῇ γῇ τὸ ἱερὸν καὶ καθαρώτατον αὐτοῦ σῶμα τῇ θ' ὥρᾳ τῆς κυριακῆς ἐν τῇ μονῇ τῆς ἁγίας ὁσιομάρτυρος Παρασκευῆς, τῇ καὶ σχολῇ αὐτοῦ τῇ κειμένῃ εἰς τὴν τοποθεσίαν τῆς ῥηθείσης κώμης, ἐν τῷ νάρθηκι, ἐν τῷ μνημείῳ τοῦ μακαριωτάτου καὶ γέροντος αὐτοῦ κυρίου Εὐγενίου, πολλῶν πατέρων καὶ ἱερέων πλῆθος χριστιανῶν ἀναδραμόντων, καὶ πάντων ὀδυρομένων τὴν ἀποδημίαν καὶ στέρησιν τοῦ καλοῦ πατρὸς καὶ φωστῆρος, ὅτι πάντων προΐστατο εὐεργετῶν καὶ πάντας νουθετῶν ὁ ἀείμνηστος ὡς ἄλλος οὐδεὶς τοῦ νῦν καιροῦ· ἦν δὲ ὡς ἐτῶν ἑβδομήκοντα πέντε.» 1)

Πρὸ τοῦ συγγράμματος τούτου ἐν ἰδιαιτέρῳ φύλλῳ ὑπάρχει ἡ ἑξῆς ἐπιγραφὴ «Βιβλίον κυρίου Ἀναστασίου Γορδίου τὸ ὁποῖον ἀντιγράφεται εἰς τοὺς 1756, αψνς' ἐν Νήσῳ Κυθήρων εἰς χώραν Μυλοποτάμου.» Ἕπεται ἐπίγραμμα κατ' ἀλφάβητον. 2)

Β' «Τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου τοῦ καὶ ἐπιστηθίου, ἐξήγησις εἰς τὸ δέκατον τρίτον κεφάλαιον τῆς ἀποκαλύψεως παρὰ τοῦ σοφωτάτου διδασκάλου Πανταζῆ τοῦ Λαρισσαίου, 3) κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν ὀγδοηκοστὸν ἔννατον ἔτος. Ἀντιγράφεται δὲ νῦν κατὰ τὸ χιλιοστὸν ὀκτακοσιοστὸν δέκατον ἔτος, ἐν τῇ νήσῳ Κυθήρων 1810, αωι.»

Γ' «Χρησμὸς τοῦ ἁγίου Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως·» μετὰ τῆς ἀναπτύξεως τοῦ αὐτοῦ Πανταζῆ.

Δ' «Ἕτερος χρησμὸς Στεφάνου Ἀλεξανδρέως τοῦ καὶ οἰκουμενικοῦ διδασκάλου, ἐν ἔτει ἑπτακοσιοστῷ πεντηκοστῷ ἐπὶ βασιλείας Ἡρακλείου» μετὰ τῆς ἀναπτύξεως τοῦ αὐτοῦ.

Ε' «Ἕτερος χρησμὸς τοῦ σοφωτάτου βασιλέως Λέοντος» σὺν τῇ ἐξηγήσει τοῦ αὐτοῦ διδασκάλου.

1) Πλείονα περὶ τοῦ χειρογράφου καὶ συγγράμματος τούτου τοῦ Γορδίου ὅρα εἰς τὸ ἐν «Ὁμήρῳ» 1877 σ. 76—78 ἐκδοθὲν ὑπ' ἐμοῦ ἄρθρον ὑπὸ τὴν ἐπιγραφὴν «Ἀναστάσιος Γόρδιος,» ἐν ᾧ κατέλεξα καὶ πάντα τὰ γνωστά μοι τούτου ἀντίγραφα.

2) Ἐξεδόθη ἔνθ. ἀνωτέρω σ. 77.

3) Βλ. Σάθα, Νεοελλ. Φιλολ. σ. 604.

Α—40.

(40) Εἰς 4ον, ἐκ φύλλων 215 καὶ ἐποχῆς τοῦ ιζ' αἰῶνος.

Φύλλ. 1—188 περιέχουσι «Δαβὶδ προφήτου καὶ βασιλέως» ψαλμοὺς ρν'.

Φύλλ. 159α ψαλμὸν ἐπιγραφόμενον «οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τοῦ Δαυὶδ ἐστι, καὶ ἔξωθεν τῶν ἑκατὸν πεντήκοντα ψαλμῶν ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.»

Φύλλ. 159β—205 τὸν πολυέλεον ψαλλόμενον ἐν ταῖς δεσποτικαῖς ἑορταῖς, μετὰ διαφόρων ἐκλογῶν ἐκ τῆς βίβλου τῶν ψαλμῶν. Ποίημα κυροῦ Νικηφόρου Βλεμμίδου καὶ πρεσβυτέρου.» — Προσευχάς· Ἄννης, μητρὸς Σαμουὴλ τοῦ προφήτου, Ἀββακοὺμ τοῦ προφήτου, Ἡσαΐου τοῦ προφήτου, Ἰωάννου τοῦ προφήτου, τῶν ἁγίων τριῶν παίδων, ὕμνους τῶν ἁγίων τριῶν παίδων, αἴνεσιν Ἄννης μητρὸς Παρθένου Κόρης, προσευχὴν τοῦ προφήτου Ζαχαρίου τοῦ πατρὸς τοῦ τιμίου προδρόμου, καὶ στίχους εἰς τὸν θεῖον Δαυίδ.

Ἐδωρήθη παρὰ τῆς ἐν Σμύρνῃ ἐκκλησίας τῆς ἁγίας Φωτεινῆς.

Β—1.

(41) Εἰς 8ον μέγα, ἐκ φύλλων περγαμηνοῦ 310 καὶ ἐποχῆς τοῦ ιδ' αἰῶνος.

Λόγοι ἐκκλησιαστικοί. Ἰδοὺ ὁ κατάλογος αὐτῶν κατὰ τὸν ἐν ἀρχῇ τοῦ τεύχους πίνακα. «Πίναξ περιέχων τὰς τῶν παθῶν πάντων κατηγορίας δι' ἐνιστόρων παραδειγμάτων τῆς τε παλαιᾶς καὶ νέας Διαθήκης, ἀπὸ Ἀδὰμ καὶ καθεξῆς, συγγράφεντες παρὰ Συμεὼν μοναχοῦ ἀνδρὸς ἁμαρτωλοῦ καὶ παναθλίου, πρὸς τὴν ἐμαυτοῦ ψυχὴν ἑκάστης κατηγορίας τὸν ταλανισμὸν ἀναφέροντος ἐν κεφαλαίοις τριάκοντα καὶ δυσί, καθὼς ὑποτέτακται.»

1) «Περὶ τοῦ δεῖν πάντοτε τῶν οἰκείων ἁμαρτιῶν τὴν ἐξομολόγησιν ποιεῖσθαι καὶ διὰ παντὸς πρὸ ὀφθαλμῶν ἔχειν τὸν τοῦ Θεοῦ φόβον.»

2) «Ἐξομολόγησις πρώτη περὶ παραβάσεως»

3) «Περὶ προσοχῆς, λόγος δεύτερος»

4) «Περι γλώσσης, λόγος δεύτερος.»

5) «Περὶ γλώσσης, λόγος τρίτος.»

6) «Περὶ φθόνου καὶ μισαδελφίας, λόγος δ'.»

7) «Περὶ ἀγάπης καὶ τοῦ μὴ ὀργίζεσθαι, λόγος ἑ.»

8) «Περὶ πορνείας, λόγος ς'.»

9) «Περὶ ἁγνείας καὶ σωφροσύνης, λόγος ζ'.»

10) «Ἔτι περὶ ἁγνείας καὶ σωφροσύνης καὶ τοῦ ἀπέχεσθαι πορνείας καὶ λαγνείας καὶ ἀσωτίας, λόγος ὄγδοος.»

11) «Περὶ γαστριμαργίας, λόγος θ'.»

12) «Περὶ νηστείας καὶ γαστριμαργίας καὶ τοῦ μηδόλως γογγύζειν, λόγος δέκατος.»

13) «Περὶ μέθης, λόγος ιά.»

14) «Περὶ τοῦ μὴ θαρρεῖν ἐν μόνῃ τῇ πίστει ἄνευ ἀγαθῶν ἔργων, λόγος ιβ'.»

15) «Περὶ πλεονεξίας καὶ φιλαργυρίας, λόγος ιγ'.»

16) «Περὶ ἐλεημοσύνης καὶ εὐσπλαγχνίας, λόγος ιδ'.»

17) «Περὶ ἐλεημοσύνης, λόγος ιέ.»

18) «Περὶ ἀκτημοσύνης, λόγος ις'.»

19) «Περὶ ἀσκήσεως καὶ ἀποταγῆς βίου, λόγος ιζ'.»

20) «Περὶ ὑπομονῆς, λόγος ιή»

21) «Ἔτι περὶ ὑπομονῆς, λόγος ιθ'.»

22) «Ἔτι περὶ ὑπομονῆς, λόγος κ'.»

23) «Περὶ ὑπομονῆς καὶ προσευχῆς, λόγος κά.»

24) «Ἔτι περὶ ὑπομονῆς καὶ τῶν ἀχράντων καὶ θείων τοῦ Κυρίου παθῶν· καὶ κατὰ Ἰουδαίων, λόγος κγ'.»

25) «Περὶ τοῦ μὴ μνησικακεῖν μηδὲ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, λόγος κδ'.»

26) «Περὶ ὑπερηφανείας, λόγος κέ.»

27) «Περὶ τῆς θείας ταπεινώσεως, λόγος κς'.»

28) «Περὶ ἐξομολογήσεως καὶ καταγνώσεως τῶν οἰκείων ἁμαρτιῶν, λόγος κζ'.»

29) «Περὶ μνήμης θανάτου καὶ τοῦ ματαίου καὶ βραχυτάτου βίου καὶ περὶ κατανύξεως, λόγος κή»

30) «Περὶ κρίσεως καὶ δευτέρας παρουσίας, λόγος κθ'.»

31) «Περὶ μετανοίας, λόγος λ'.»

32) «Περὶ δακρύων καὶ φιλανθρωπίας τοῦ παναγάθου Θεοῦ, λόγος λά.»

33) «Λόγος θρηνητικός, λβ'.»

Εἰς τὸ τέλος ὑπάρχει ἡ ἑξῆς τοῦ ἀντιγραφέως σημείωσις «Τὴν βίβλον ὅστις τὴν παροῦσαν παρίδει, παρεῖδε κέρδος ἄξιον σωτηρίας» 1)

Ἐδωρήθη παρὰ τῆς ἐν Σμύρνῃ Ἐκκλ. τῆς Ἁγ. Φωτεινῆς.

B—2.

(42) Εἰς 4ον μικρόν, ἐκ σελίδων 635 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος.

«Ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας ἐκδοθεῖσα παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου Κορυδαλέως κυρίου Θεοφίλου μητροπολίτου Ἀθηνῶν» μετὰ πολλῶν ἐν τοῖς περιθωρίοις σημειώσεων. 2)

Εἰς τὸ τέλος ἀναγινώσκεται «Ἡ παροῦσα δέλτος εἴληφεν ὧδε τέλος, ἔτους αψκς' δ.κ.β.ου (δεκεμβρίου) ιβ'.»

B—3.

(43) Εἰς 4ον μικρόν, ἐκ φύλλων 448 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος.

«Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ

---

1) Ἐν Π. Φωκαίᾳ σώζεται ἀντίγραφον τῶν αὐτῶν λόγων ἀνερχόμενον εἰς τὸν ις' αἰῶνα. Βλ. τὴν ἐμὴν ἔκθεσιν περὶ τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Π. Φωκαίας χειρογράφων σ. 4—5 ἀρθ. δ'.

2) Πρβλ. ἀνωτέρω σ. 12 χειρ. Α—11.

Κορυδαλέως εἰς φιλοσοφίαν προδιοίκησις.»1) Ἀντεγράφη τῷ «αψλ' μαΐου ά»

Ἐδωρήθη δὲ παρὰ τῆς ἐν Σμύρνῃ Ἐκκλησίας τῆς ἁγ. Φωτεινῆς.

Β—4.

(44) Εἰς 4ον μικρὸν, ἐκ φύλλων 200 καὶ ἐποχῆς τοῦ ιη' αἰῶνος.

Φύλλ. 1—100. Ἀνωνύμου τέχνη ῥητορική. Ἀρχ. «Τὴν ἔμφυτον ἐπιθυμίαν καὶ ἔφεσιν.» Τελ. «τοῖς ἐπιμόνως ἐνδιατρίβουσι τούτοις τοῖς ἀτελέσι τῆς κατὰ ῥητορικὴν τελειότητος ἐγκρατεῖς γενέσθαι.»

Φύλλ. 101—200. «Ἀλεξάνδρου τοῦ ἐξ ἀπορρήτων, Σύνοψις τέχνης ῥητορικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν.» 2)

Ἐδωρήθη παρὰ τῆς ἐν Σμύρνῃ Ἐκκλησίας τῆς ἁγ. Φωτεινῆς.

Β—5.

(45) Εἰς 4ον μικρὸν, ἐκ φύλλων 121 καὶ ἐποχῆς τοῦ ιή αἰῶνος.

Φύλλ. 1—98α. Ἀνωνύμου γεωμετρία

Φύλλ. 98β—116α. Ἀνωνύμου ἀριθμητική.

Φύλλ. 116β—121. Ἀνωνύμου περὶ τῆς ἐπιπέδου τριγωνομετρίας.

Β—6.

(46) Εἰς 4ον μικρὸν, ἐποχῆς τοῦ ιή αἰῶνος.

Α' «Χριστιανὸς κατηγορούμενος.» Ἀρχ. «Πυθόμενος τί ποτ' ἂν εἴη ὦ φίλε μύστα χριστιανός.» Τελ. «ὅταν ἡ πρὸς τὸν πλησίον ἀγάπη ψυγήσηται· ὃ μὴ γένοιτο.»

Β'. «Χρηστοήθεια συντεθεῖσα παρὰ τοῦ ἐντιμωτάτου καὶ λογιωτάτου ἀρίστου τε ἔν τε γραμματικῇ καὶ φιλοσοφίᾳ καὶ πάσῃ ἄλλῃ παιδείᾳ διδασκάλου τῆς πατριαρχικῆς σχολῆς κυρίου Ἀντωνίου Βυζαντίου.» 1) Ἐν τῷ περιθωρίῳ ὑπάρχει ἡ ἑξῆς σημείωσις «Τὸ παρὸν χρηστοήθεια ὀνομάζεται σύγγραμμα χρηστότητα ἠθῶν καὶ κοσμιότητα τρόπου ὑποτιθέμενον. Μετενήνεκται δὲ ἀπό τινος ἐκ τῆς λατινίδος φωνῆς εἰς ἁπλῆν. Μετοχετεύσατο δὲ αὖθις εἰς τὴν ἑλληνίδα ὁ ἐλλόγιμος καὶ ἐν σπουδαίοις ἄριστος Ἀντώνιος ὁ Βυζάντιος ὁ τῆς ἐν Κωνσταντίνου πόλει σχολῆς τῶν γραμματικῶν μαθημάτων καθηγητής, ἃ μὲν προσθείς, ἃ δὲ ὑφελόμενος, τοῦ ἁπλοῦ ἀτελοῦς καὶ ἀκοσμήτου τυγχάνοντος, καταγλαΐσας ἐκεῖνος τῷ κάλλει τοῦ ἑλληνικοῦ χαρακτῆρος, ναὶ μὴν καὶ κοσμήσας ποικίλως τῇ προσθήκῃ τῶν νοημάτων, εἰς φῶς ἤγαγεν καὶ τοῖς φιλολόγοις καὶ ἀναγινώσκουσιν αὐτὸ, ἔχουσιν ἐντεῦθεν ῥυθμίζειν καὶ τὰ ἤθη κοσμεῖν πολλὰς ὑποθήκας ἐνέθηκεν, ᾧ τινι καὶ οἱ ἐντυχάνοντες τὸν ἄνδρα θαυμαζόντων τῷ ὕψει τῆς φράσεως καὶ τῇ τοῦ λόγου ἰδέᾳ καὶ δι' εὐφήμου γλώττης ἀγόντων.» Εἰς τὸ τέλος τῆς χρηστοηθείας ἡ ὑπογραφὴ τῶν ἀντιγραφέων «Παχώμιος (;) ἱεροδιάκονος σὺν ἀδελφῷ Καλλινίκῳ χαίροι.»

Γ'. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεολόγου λόγος εἰς τὴν βραδυτῆτα.»

Δ'. «Γρηγορίου Ναζιανζηνοῦ τοῦ Θεολόγου περὶ φιλοπτωχίας.» Πρὸ τοῦ τίτλου τούτου ἀναγινώσκεται «αψοή, ἐν μηνὶ Ἰουνίῳ, ἠρξάμην τῶν τοῦ Γρηγορίου λογογραφικῶν.»

Ε'. «Τοῦ αὐτοῦ συντακτήριος εἰς τὴν τῶν ρν' ἐπισκόπων παρουσίαν.»

ΣΤ'. Τοῦ αὐτοῦ «εἰς τοὺς ἀπ' Αἰγύπτου ἐπιδημήσαντας.» ἀτελής.

Ζ'. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρίας Καππαδοκίας, περὶ κρίματος θεοῦ.»

Η'. «Τοῦ αὐτοῦ περὶ πίστεως.»

Θ'. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασι-

1) Βλ. ἀνωτ. σ. 11 χειρ. Α—7.

2) Ταύτης ποιεῖται μνείαν Ζαβίρας (Νέα Ἑλλὰς σ. 168) καὶ Σάθας (Νεοελλ. Φιλ. σ. 389.)

1) Ἐξεδόθη τὸ πρῶτον τῷ 1788 Βλ. Π. Λάμπρου, κατάλογος Β' σπανίων βιβλίων. Ἀθήνησι, 1864. σ. 30.

οἷόν τε οἱ νέοι εὐμαρέστερον εἰσέλθωσι· πάσης γὰρ ἐπιστήμης ἢ τέχνης καὶ παντὸς πράγματος ἡ ὀντότης καὶ ἀξιότης διὰ τοῦ ὁρισμοῦ κατάδηλος γίνεται. Ἔστι τοίνυν ἡ ποιητικὴ τέχνη, ὡς ἐκ τοῦ ά καὶ β' κεφ. ἐν τῷ περὶ ποιητικῆς τοῦ Ἀριστοτέλους συνάγεται μίμησις πράξεως σπουδαίας ἢ φαύλης ἢ ὁμοίας πράγμασι διαφόροις, τέλος ἔχουσα τὴν προτροπὴν διαφόρως ἐπὶ τὸ βέλτιον. Ἐν ταύτῃ τῇ προτεθείσῃ τῆς ποιητικῆς τέχνης περιγραφῇ, γένους μὲν χώραν ἐπέχει ἡ μίμησις, οὐ γὰρ ἡ ποιητικὴ μόνη μίμησίς ἐστιν, ἀλλὰ καὶ ἄλλαι, οἷον ἡ αὐλητικὴ, ἡ κιθαριστικὴ, ἡ ὀρχηστικὴ, κατὰ τὸν Ἀριστοτέλην ἐν κεφ. ά περὶ ποιητικῆς, διαφορᾶς δὲ τόπον ἐπέχει τὰ λοιπά. Καὶ διὰ μὲν τῆς σπουδαίας πράξεως δηλοῦνται πάντα τὰ ἡρωϊκὰ ποιήματα, διὰ δὲ τῆς φαύλης, αἱ κωμῳδίαι, αὗται γὰρ ἀεὶ περὶ φαύλας ὑποθέσεις καταγίνονται, εἰς ἔλεγχον τῶν ταύτας μετερχομένων· διὰ δὲ τῆς ὁμοίας, αἱ τραγῳδίαι, αὗται γὰρ περί τε τὰς σπουδαίας καὶ φαύλας πράξεις καταγινόμεναι, τὰς συμφορὰς τῶν ἀνθρώπων παριστῶσιν ἐν πράγμασι διαφόροις· πασῶν δὲ τέλος τὸ σκοπιμώτατον τοὺς ἀκούοντας ἐπὶ τὸ βέλτιον προτρέπειν, διὸ καὶ τὸ διαφόρως ἐν τῇ περιγραφῇ προστεθείσεται ὅτι ὁ μὲν ῥαψῳδῶν δι' ἐπαίνων μετέρχεται, ὁ δὲ κωμῳδῶν διὰ ψόγων, ὁ δὲ τραγῳδῶν διὰ τῶν συμφορῶν, οἱ πάντες δὲ κοινῶς κατὰ μίμησιν τῶν πραχθέντων· ὅθεν καὶ κατὰ τὸν Ἀριστοτέλην ἐν κεφαλαίῳ γ' περὶ ποιητικῆς, καὶ δράματα καλεῖσθαί τινες αὐτὰ φασὶν ὅτι μιμοῦνται δρῶντας.

«Αὕτη ἡ ποιητικὴ τέχνη τοῖς πάλαι τῶν ἑλλήνων σοφοῖς φιλοσοφία τις πρώτη ἐδόκει, εἰσάγουσα εἰς τὸν βίον τὸν ἄνθρωπον, διδάσκουσα πᾶν πάθος καὶ ἦθος, καὶ πᾶσαν πρᾶξιν μεθ' ἡδονῆς· ὅθεν καὶ τοὺς παῖδας διὰ ταύτης ἐπαίδευον πρῶτον, σωφρονιστὰς τοὺς ποιητὰς τεκμαιρόμενοι, οἷα δὴ τῇ ποιητικῇ πᾶσαν πρᾶξιν, μάθησίν τε καὶ τέχνην ἅπασαν ἐκπεριεχομένην παριστῶσι πρὸς τοὺς ἀνθρώπους ἅπαντα μείλιχα, εὐπαράδεκτα, ἡδέα, καὶ τὸ ἄπιστον πολλάκις ἐκ φύσεως πιστὸν εἶναι τεχνευομένη καὶ τὸ ψευδὲς ὥσπερ ἀληθὲς μετερχομένη· ὃ δὴ καὶ Ἡσίοδος ἀποφαινόμενος λέγει ἐν Θεογονίᾳ

Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα
Ἴδμεν δ' εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.

Ὅθεν καὶ ὁ Θεολόγος Γρηγόριος ταυτησὶ τῆς ποιητικῆς τέχνης τὸ συμφέρον καὶ τὴν λυσιτέλειαν ἣν παρέχει τοῖς ταύτην μετερχομένοις νέοις ἐμφαίνων ἐν τοῖς ἐμμέτροις δι' ἰαμβικῶν οὕτω φησὶ στίχων

Τί οὖν πέπονθα; τοῦτ' ἴσως θαυμάζετε
πρῶτον μὲν ἠθέλησα τοῖς ἄλλοις καμὼν
οὕτω παιδεῦσαι τὴν ἐμὴν ἀμαρτίαν
ὡς ἂν γράφων γε ἀλλὰ μὴ πολλὰ γράφω
καμὼν τὸ μέτρον· δεύτερον δὲ τοῖς νέοις,
καὶ τῶν ὅσοι μάλλιστα χαίρουσι λόγοις
ὥσπερ τι τερπνὸν τοῦτο δοῦναι φάρμακον
πειθοῦς ἀγωγὸν εἰς τὰ χρησιμώτερα
τέχνῃ γλυκάζων τὸ πικρὸν τῶν ἐντολῶν.
Καὶ παρακατιὼν
Τίς οὖν βλάβη σοι τοὺς νέους δι' ἡδονῆς
σεμνῆς ἄγεσθαι πρὸς θεοῦ κοινωνίαν;
οὐ γὰρ φέρουσιν ἀθρόαν μετάστασιν.
Νῦν μέν τις ἔστω μίξις εὐγενεστέρα
πῆξιν δ' ὅταν τὸ καλὸν ἐν χρόνῳ λάβῃ,
ὑποσπάσαντες ὡς ἐρείσματ' ἀψίδων
τὸ κομψὸν, αὐτὸ τ' ἀγαθὸν φυλάξωμεν.
Τουτὶ τί ἂν γένοιτο χρησιμώτερον;
σὺ δ' οὐ τὰ ὄψα τῷ γλυκεῖ παραρτύεις;
ὦ σεμνὲ καὶ σύναφρυ καὶ συνηγμένε
τί οὖν κακίζεις τὴν ἐμὴν εὐμετρίαν,
τοῖς σοῖς μέτροις σταθμώμενος τὰ τῶν πέλας;

«Τὸ εἶναι ταύτης τῆς ποιητικῆς τέχνης συνέστηκεν ἐκ τριῶν τουτωνὶ, ἱστορίας, διαθέσεως καὶ ἡδονῆς· ἐξ ἱστορίας μὲν ὅτ' ἐστὶν ἡ ἀλήθεια, οἷον ὁ περὶ τῶν νέων κατάλογος τοῦ Ὁμήρου, ἤτοι τὰ βιωτικά· ἐκ διαθέσεως δὲ, ὅτ' ἡ ἐνέργεια καὶ ἡ πρᾶξις, ὡς ὅτε μαχομένους παρεισάγει τοὺς ἥρωας, Ἕλληνάς τε δηλαδὴ καὶ Τρῶας· ἐξ ἡδονῆς δὲ, ἡνίκα εἰσὶν οἱ μῦθοι, ὡς ὅταν εἰσάγει

τοὺς περὶ θεῶν μύθους, δι' αὐτῶν καθηδύνων τὴν ποίησιν. Ἰδέας δὲ λόγων ταύτης τῆς ποιητικῆς τρεῖς ἔφηναν οἱ παλαιοί, τὴν μιμητικήν, ἣν καὶ δραματικὴν φασί, τὴν ἀμίμητον καὶ μικτήν· καὶ κατὰ μὲν τὴν μιμητικὴν ὁ Ὅμηρος πρῶτος συνεγράψατο, εὐδοκιμῶν συνεχῶς τῶν εἰς μίμησιν ὑποκειμένων προσώπων· κατὰ δὲ τὴν ἀμίμητον Θέογνις καὶ Φωκυλίδης, ἀμφότεροι γὰρ ἠθικῶς μετερχόμενοι πράξεις, ἤθη ἢ τρόπους, μηδενὸς κατὰ μίμησιν ὑπέφηνον· κατὰ τὴν μικτὴν δὲ Ἡσίοδος, εἴς τε τὸν Πέρσην ἠθικῶς ἔργα καὶ ἡμέρας συνεγράψατο, καὶ τὴν ἀσπίδα Ἡρακλέους κατὰ μίμησιν.

«Ταύτην δὲ τὴν ποιητικὴν τέχνην εἰς τρία εἴδη τὰ γενικώτατα διαιροῦσιν, εἰς ῥαψῳδίαν, κωμῳδίαν καὶ τραγῳδίαν· καὶ τῇ μὲν ῥαψῳδίᾳ ἐμπεριλαμβάνουσι πάντα τὰ ἡρωϊκὰ ποιήματα, οἷον τὰ τοῦ Ὁμήρου, Ἀππιανοῦ, Ἀπολλωνίου, καὶ ἄλλων τοιαῦτα καὶ τοὺς τῶν τοιούτων ποιητὰς ῥαψῳδοὺς ἔλεγον· ἐκλήθη δὲ ῥαψῳδία, ὡς δοκεῖ τοῖς δοκιμοτέροις, διὰ τὸ κατὰ συνθήκην τεχνικὴν ῥάπτεσθαι τὴν ᾠδήν, περὶ ἧς εὐνοίας εἰσάγεται Ἡσιόδου ῥῆσις τοιαύτη ἐν μέτρῳ ἡρωϊκῷ

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν.

ἐν ταῖς παρεκβολαῖς Εὐσταθ. Ἰλ. α, καὶ ἐν τοῖς σχολίοις Πινδάρου Νεμ. εἴδει β', ἔνθα ὁ αὐτός τε Πίνδαρος ἐκ τοῦ ῥάπτειν τὴν ᾠδὴν κληθῆναι τὴν ῥαψῳδίαν ἀποφαίνεται οὕτω γράφων

ὅθεν περ καὶ Ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πολλ' ἀοιδοί.

«Τινὲς ἔμπης καὶ παρὰ τὴν ῥάβδον ἐθέλουσι ῥαψῳδίαν κληθῆναι, ὥσπερ τις ῥαβδῳδία οὖσα, ἀκολουθοῦντες Καλλιμάχῳ οὕτως εἰπόντι «καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινώμενον, διηνεκὲς ἀείδω δεδαημένος» εἰς τὰς Παρεκβολὰς Εὐσταθ. Ἰλ. α, καὶ ἐν τοῖς σχολίοις Πινδάρου Νεμ. εἴδει β'. Καταγίνεται δὲ αὕτη ἡ ῥαψῳδία περὶ τὰς ἡρωϊκὰς πράξεις καὶ ἱστορίας, καὶ μύθους τῶν ἑλλήνων θεῶν, εἰς πᾶσαν ἄλλην ἀρετὴν καὶ ἀξιότητα ἐναρέτων ἀνδρῶν, καὶ τοῦ παντὸς κόσμου· τῇ δὲ κωμῳδίᾳ ἐμπεριλαμβάνονται ἅπασαι αἱ κωμῳδίαι, οἷον τοῦ Ἀριστοφάνους καὶ Μενάνδρου, καὶ ὃν φασὶν Ὁμήρου Μαργίτην· ἐκλήθη δὲ οὕτως, ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος ἤτοι τοῦ ὕπνου, ἢ ὅτι ἐν τοῖς κώμοις τοῦ Διονύσου πρῶτον εὑρέθη, ἢ ὡς φαίνεται ἐν τοῖς ὑπομνήμασι τοῦ Ἀριστοφάνους «τὴν κωμῳδίαν ηὑρῆσθαί φασι ὑπὸ Σουσαρίωνος· τὴν δὲ ὀνομασίαν ἔχει ὁ μὲν ὅτι ἐπὶ τὰς κώμας περιιόντες ᾖδον καὶ ἐπεδείκνυντο μήπω πόλεων οὐσῶν, ἀλλ' ἐν κώμαις οἰκούντων τῶν ἀνθρώπων, οἱ δὲ ἀντιλέγοντές φασι μὴ κώμας καλεῖσθαι παρ' Ἀθηναίοις ἀλλὰ δήμους, καὶ κωμῳδίαν αὐτὴν καλοῦσιν, ἐπεὶ ἐν τοῖς ὁδοῖς ἐκώμαζον.» Ταύτην ὁ Ἀριστοφάνης Ἀχαρν. καὶ τρυγῳδίαν καλεῖ οὕτω γράφων «μέλλω περὶ τῆς πόλεως τρυγῳδίαν ποιῶν.» Καλεῖ ταύτην τραγῳδίαν, κατὰ τὸν αὐτοῦ ὑπομνηματιστὴν εἰς τὸ αὐτό, διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι, τουτέστι νέον οἶνον· καταγίνεται δὲ αὕτη ἡ κωμῳδία περὶ γέλωτας καὶ σκώμματα. Τῇ δὲ τραγῳδίᾳ ἐμπεριλαμβάνονται πᾶσαι αἱ τραγικαὶ πράξεις, οἷον αἱ τοῦ Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδους καὶ ἄλλων· ἐκλήθη δὲ οὕτω ἀπὸ τοῦ τράγου ἢ τρύγα, τουτέστι νέον οἶνον λαμβάνειν, ἢ ἀπὸ τοῦ τρυγὶ χρίεσθαι τὰ πρόσωπα κατ' ἀρχὰς τοὺς ὑποκριτάς, ἢ ἀπὸ τοῦ τετραγώνως ἵστασθαι, τετραγῳδία, ἢ ἀπὸ τοῦ τραχείας ᾠδὰς ἔχειν τοὺς θρήνους τραχῳδία, τραγῳδία, ἢ ἀπὸ τοῦ τραγῷν, ὃ δηλοῖ τὸ βαρέως βοᾷν, ἐπὶ τοὺς θρήνους. Τὸν ἀγῶνα δ' αὕτη ποιεῖται περὶ τὰς μεγίστας συμφοράς. Τούτων δὲ καὶ τῶν τριῶν εἰδῶν τῆς ποιητικῆς τέχνης πρῶτος ὑφηγητὴς Ὅμηρος ἐφάνη κατὰ τὸν Ἀριστοτέλη κεφ. γ' τῆς ποιητικῆς οὕτω λέγοντα «Τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς εἴχομεν εἰπεῖν τοιοῦτον ποίημα, εἰκὸς εἶναι πολλούς· ἀπὸ

δὲ Ὁμήρου ἀρξαμένοις ἐστὶ καὶ μετὰ τοῦτα· ὥς περ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν (μόνος γὰρ οὐχ ὅτι ἦ, ἀλλ' ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν) οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δράματι ποιήσας· ὁ γὰρ μαργίτης ἀνάλογον ἔχει, ὥς περ Ἰλιὰς καὶ Ὀδυσσεία πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας.»

«Οἱ νεώτεροι τὴν ποιητικὴν τέχνην διαιροῦσι καὶ εἰς ἕτερα πλείω εἴδη παρὰ τὰ τρία ταῦτα, εἰς τὴν λυρικὴν, διθυραμβικὴν, ἰαμβογραφικὴν, ὑμνογραφικὴν, ἐπιθαλαμογραφικὴν, ἐπιγραμματογραφικὴν, ἐλεγειογραφικὴν, μονῳδίαν, καὶ εἰς ἄλλα πλείω εἴδη, ἅττα περιττά ἐςι καὶ γράφειν,ἐπεί περ εἰς ὅσα ἂν εἴδη τὴν διαίρεσιν ταύτην πάντα ἐπὶ τὰ ἀνωτέρω τρία εἴδη ὑπάγονται. Ὑπὸ μὲν τὴν ῥαψῳδίαν ὑπάγεται ἡ μονῳδία, ἥτις μονοπροσώπως τὰ γεγονότα ἢ τὰ γενησόμενα διεξέρχεται. Ἡ ἐπιθαλαμογραφία, ἥτις ἐγκώμια γράφει εἰς τοὺς νυμφίους, ἅπερ ἐπιθαλάμια λέγεται, ὧν τινὰ μὲν ᾄδεται ἑσπέρας, ἅττα λέγεται κατακοιμητικὰ, ᾄδεται δὲ ἐφ' ἑσπέρας ἕως μέσης νυκτὸς, τινὰ δὲ ὄρθρια, ἃ καὶ διεγερτικὰ προσαγορεύεται· ταῦτα δὲ τὰ ἐπιθαλάμια πρὸ τοῦ θαλάμου αἱ παρθένοι ᾖδον, ἵνα τῆς παρθένου ὑπὸ τοῦ ἀνδρὸς βιαζομένης, ἡ φωνὴ μὴ ἐξακούηται, λανθάνῃ δὲ διακρυπτομένη διὰ τῆς τῶν παρθένων φωνῆς· ἡ ὑμνογραφία, ἥτις ὕμνους εἰς θεοὺς γράφει· ἡ ἐπιγραμματογραφία, ἥτις καὶ ἀναθηματικὴ λέγεται, γράφει εἰς ἀνδριάντας, εἰκούς, ἀξίους τε ἄνδρας, βίβλους, καὶ εἰς τὰ ἐν ναοῖς ἀναθήματα, καὶ εἰς ἕτερα τοιαῦτα, ἐπιγράμματα· ἡ λυρικὴ, ἥτις περιέχει πάντα τὰ διὰ λύρας ᾀδόμενα ποιήματα· ὑπὸ δὲ τὴν κωμῳδίαν ὑπάγεται ἡ διθυραμβικὴ, ἥτις πολυστρόφως πλέκει εἰς Διόνυσον ᾄσματα, ὀρχήσεις μετὰ μέθης ἀσελγῆ ᾄσματα, καὶ πορνικὰ ᾄδουσα· διθυραμβικὴ δὲ ἐκλήθη ἀπὸ τοῦ Διονύσου τοῦ διὰ δύο θυρῶν ἐκβάντος, τῆς τε γαστρὸς τῆς Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διὸς, ἢ ἐν διθύρῳ ἄντρῳ τῆς Νύσσης τραφέντος· ἡ ἰαμβογραφικὴ, ἥτις περὶ τὰς λοιδορίας καταγίνεται δι' ἰάμβων (ἰαμβίζειν γὰρ ἐστὶ τὸ ὑβρίζειν, καὶ ἴαμβος ἔμμετρός ἐστι λοιδορία) καταχρηστικῶς δὲ καὶ δι' ἑτέρου οἱουδή τινος μέτρου· ὑπὸ δὲ τὴν τραγῳδίαν ὑπάγεται ἡ σατυρικὴ, ἥτις περὶ τὰς συμφορὰς τῶν ἀνθρώπων καταγίνεται· διαφέρει ἔμπης τῆς τραγῳδίας ὅτι ἡ μὲν τραγῳδία θρήνους μόνον καὶ οἰμωγὰς περιέχει· ἡ δὲ σατυρικὴ συγκιρνᾶται ταῖς ὀλοφύρσεσι καὶ ἱλαρότητι καὶ ἀπὸ δακρύων εἰς χαρὰν τελειοῖ· σατυρικὴ δὲ ἐκλήθη ἀπὸ τῶν Σατύρων, τῶν εὑρόντων αὐτὴν γεωργῶν καὶ εὐτελῶν ἀνθρώπων ἢ διὰ τὸ τοὺς ᾄδοντας ταύτην ἀρχομένους μιμεῖσθαι τοὺς Σατύρους. Τὰς ἀρχὰς δὲ αὕτη ἡ σατυρικὴ κατὰ τὸν Εὐστάθ. Ὀδυσ. Σ ἔλαβεν ἐκ τῆς τοῦ Ὁμήρου Ὀδυσσείας «λογιστέον δὲ φησὶ καὶ ὡς ἐκ τῆς ὀδυσσειακῆς εὐμεθόδου συλλογραφίας ὅπερ παρήκοι παραμιγνείσης ἀστεῖα σπουδαίοις, εἰκὸς ἐπινοηθῆναι τοῖς ὕστερον τὴν σατυρικὴν ποίησιν, ἧς τὴν μέθοδον δηλοῖ ὁ μέχρι νῦν εὑρισκόμενος Εὐριπίδειος, κύκλωψ· ἔστι δὲ κατὰ τοὺς παλαιοὺς σατυρικοῦ ἴδιον τὸ μέσον εἶναι τραγικοῦ καὶ κωμικοῦ, ὃ δὴ κατάρξας ὑπέδειξεν Ὅμηρος ἡρωϊκῇ σεμνότητι καὶ ἐμβριθείᾳ παραμιγνὺς εὐτράπελον γαληνότητα.» Ἡ ἐλεγειογραφία, ἥτις ὀλοφύρους καὶ οἴκτους ἐν ἐλεγείῳ τῷ μέτρῳ γράφει κυρίως, καταχρηστικῶς δὲ καὶ ἐν ἑτέρῳ.

«Ταύτης δὲ τῆς ποιητικῆς τέχνης ὑποκείμενον περὶ ὃ καταγίνεται πάντα τὰ γεγονότα καὶ πράγματα καὶ τὰ δυνάμενα γενέσθαι. Τρόποι δὲ δι' ὧν ἡ ποιητικὴ συντελεῖται τρεῖς εἰσί· πρῶτος ἡ τῶν συλλαβῶν ποσότης, β' τὰ μέτρα, καὶ γ' τὸ ποίημα, τουτέστιν ὁ ἡδυσμένος λόγος, ὁ ἔχων ῥυθμὸν, ἁρμονίαν, καὶ μέλος, καὶ ὅ,τι ἄλλο παρόμοιον, περὶ ὧν ἅπασα ἡμῖν ἡ ἑξῆς πραγματεία τολιπεύεται, εἰς τρία διαιρεθεῖσα κατὰ τὸν ἀριθμὸν τῆς ποιητικῆς τέχνης τῶν ῥηθέντων τρόπων, παρὰ διαφόρων συγγραφέων μεθ' ὅσης τῆς ἐπιμελείας συλλεχθεῖσα, ἑνὶ ἑκάστῳ κανόνι τε καὶ λέξει παράδειγμα ὑπὸ ποιητῶν ἔχουσα, οὐχ ὡς ἐ-

1) «Νομοκάνονον πάνυ πλουσιώτατον.»

2) «Συμεὼν ἐλαχίστου ἀρχιεπισκόπου Θεσσαλονίκης, εὐχὴ συγχωρητικὴ μετὰ θάνατον, ὑπ' ἀφορισμὸν εὑρεθέντων τινῶν ἀδελφῶν.»

---

1) Βλ. *Fabr. X*, σ. 385.
2) Βλ. *Fabr. X*, σ. 243.

1) Ἐδημοσιεύθη πολλάκις ἐν Βενετίᾳ.
2) Ἐδημοσιεύθη ὑπὸ τοῦ κ. Ι. Σακκελίωνος ἐν Πανδώρᾳ τομ. σ. μετὰ προλεγομένων.

3) «Εὐχὴ συγχωρητικὴ εἰς τοὺς μέλλοντας μεταλαβεῖν τῶν θείων μυστηρίων.»
4) Ἰατρικὰ «εἰς πόνον στόματος καὶ ὀδόντων.»
Ἕπονται διάφοροι σημειώσεις.

Γ—22.

(137) Εἰς 12ον, ἐποχῆς τοῦ ιή αἰῶνος.
Νομοκάνων.
Εἰς τὸ τέλος ἀναγινώσκεται ἡ σημείωσις: «Τὸ παρὸν νόμιμον ἐγράφθη διὰ χειρὸς ἐμοῦ τοῦ ἀγαθοῦ καὶ ἐλαχίστου τῶν ἱερομονάχων Ἀνανίου τοῦ ἐξ Ἄνδρου ἐκ τῆς μονῆς τῆς Παναχράντου, διὰ δαπάνης τοῦ πανοσιωτάτου ἐν ἱερομονάχοις κυρίου Διονυσίου τοῦ ἐκ τῆς αὐτῆς νήσου καὶ μονῆς. Ἔτει ͵αψϛ´, κατὰ μῆνα ὀκτώμβριον.»
Ἐδωρήθη παρὰ τοῦ ἐν Σμύρνῃ Ἑλλ. Νοσοκομείου.

Γ—23.

(138) Εἰς 12ον, ἐποχῆς τοῦ ιέ αἰῶνος.
Εὐχολόγιον; Ἐλλείπει ἡ ἀρχὴ καὶ τὸ τέλος.
Ἐδωρήθη παρὰ τοῦ κ. Μ. Κοσσονῆ.

Γ—24.

(139) Ἐποχῆς τοῦ ιή αἰῶνος. Περιέχει δὲ συλλογὴν δημοτικῶν ᾀσμάτων.
Ἐδωρήθη παρὰ τοῦ κ. Π. Μάγνητος.

Γ—25.

(140) Ἐποχῆς ἀρχῶν τοῦ παρόντος αἰῶνος.
Συλλογὴ ᾀσμάτων ὑπὸ διαφόρων.
Ἐδωρήθη παρὰ τοῦ κ. Ἰωάννου Μισθοῦ.

Γ—26.

(141) Εἰς 8ον, ἐποχῆς ἀρχῶν τοῦ παρόντος αἰῶνος.
Ἐκκλ. Μουσική.
1) «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν σημαδίων τῆς μουσικῆς τέχνης, τῶν τε ἀνιόντων καὶ κατιόντων σωμάτων τε καὶ πνευμάτων καὶ πάσης χειρονομίας καὶ ἀκολουθίας, συντεθειμένης εἰς αὐτὴν παρὰ τῶν κατὰ καιροὺς ἀναδειχθέντων ποιητῶν παλαιῶν τε καὶ νέων.»
2) «Ἀνθολογία σύντομος, περιέχουσα πᾶσαν τὴν ἡμερονύκτιον ἀκολουθίαν, ποιηθεῖσα παρὰ τῶν κατὰ καιροὺς ἀναδειχθέντων ποιητῶν παλαιῶν τε καὶ νέων.»
3) «Κοινωνικὰ τοῦ ὅλου ἐνιαυτοῦ, ποιηθέντα ὑπὸ τοῦ κὺρ Δανιὴλ πρωτοψάλτου τῆς Μεγάλης ἐκκλησίας.»
Εἰς τὸ τέλος ἡ σημείωσις: «Εἴληφε τέρμα χειρὶ Βαρθολομαίου, οὗ πατρὶς Ἴμβρος νῆσος εὐτελεστάτη κατὰ τὸ ͵αωά σωτήριον ἔτος, ἐν μηνὶ ἰουνίῳ.»

Γ—27.

(142) Εἰς 12ον, ἐποχῆς ἀρχῶν τοῦ παρόντος αἰῶνος.
Ἐκκλ. Μουσική. «Χερουβικὰ κὺρ Πέτρου Λαμπαδαρίου τῆς Μεγάλης ἐκκλησίας.»

Γ—28.

(143) Τεῦχος εἰς σχῆμα μικρότατον, περιέχον τὰ τέσσαρα εὐαγγέλια· ἐλλειπὲς εἰς τὴν ἀρχὴν καὶ τὸ τέλος· συνίσταται δὲ ἐκ φύλλων μεμβράνης γεγραμμένων κατὰ τὸν ιγ´ πιθανῶς αἰῶνα, λεπτοῖς γράμμασι καὶ ἐκ φύλλων χάρτου γεγραμμένων κατὰ τὸν ιϛ´ αἰῶνα.

ΠΑΡΑΡΤΗΜΑ.

Α

Κατάλογος χειρογράφων εὑρισκομένων παρὰ τῷ ἐν Σμύρνῃ Βιβλιοπώλῃ

Κυρίῳ ΑΘΑΝΑΣΙΩ ΖΑΧΑΡΙΑ.

Ὁ συμπολίτης ἡμῶν Ἀθανάσιος Ζαχαρίου συλλέγων τὰ ἑκάστοτε παρὰ διαφόρων παρουσιαζόμενα αὐτῷ χειρόγραφα, ἀπετέλεσε καλήν τινα συλλογὴν ἐξ ὧν ἐκθέτομεν ἐνταῦθα τὰ ἀξιολογώτερα.

Χερι. ά. Εἰς φύλλον, ἐποχῆς τοῦ ιζ' αἰῶνος· περιέχει δὲ τεσσαράκοντα καὶ δύο λόγους Ἰωάννου τοῦ Χρυσοστόμου. Τὸ ἀρχικὸν κεφαλαῖον γράμμα ἑκάστου λόγου εἶναι εἰς σχῆμα μέγα καὶ κεκοσμημένον διαφόροις χρώμασιν. Φαίνεται δὲ ὅτι τοῦ αὐτοῦ ἀντιγραφέως εἶναι καὶ τὸ ὑπ' ἀριθ. 40 χειρόγραφον τῆς Βιβλιοθήκης τῆς Ε. Σ. Εἰς τὸ τέλος τοῦ 40 λόγου ὁ ἀντιγραφεὺς ἐσημείωσε τὰ ἑξῆς· « Τὸ παρὸν βιβλίον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου πατριάρχου Κωνσταντιουπόλεως τοῦ Χρυσοστόμου ἐγράφη ὑπὸ χειρὸς ἐμοῦ Λεοντίου ἱερομονάχου κατὰ τὸ ἔτος τὸ σωτήριον ᾳχοβ'. 1672 καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαί μου διὰ τὸν Κύριον ὅπως διὰ πρεσβειῶν τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ παρηγορητοῦ τῶν ἁμαρτωλῶν τύχω ἀφέσεως τῶν πολλῶν μου καὶ ἀναριθμήτων ἁμαρτιῶν καὶ τύχω τῆς βασιλείας τῶν οὐρανῶν· ἀμήν.» Εἰς τὸ μέσον δὲ τοῦ τελευταίου φύλλου ἐσημείωσε τὰ ἑξῆς : «Τὸ παρὸν μετὰ τὸν θάνατόν μου τὸ ἀφιερώνω εἰς τὸν ἅγιον Μηνᾶ, εἰς τὴν Χίω.»

Χειρ. β'. Εἰς 4ον μικρὸν, ἐκ φύλλων 184 καὶ ἐποχῆς τοῦ ιή. αἰῶνος.

« Θεματογραφία Δωροθέου Λεσβίου 1) τοῦ χρηματίσαντος διδασκάλου τῆς ἐν Βασιλευούσῃ Ἑλληνικῆς Σχολῆς τῶν γραμματικῶν μαθημάτων.» Εἰς τὸ τέλος ἀναγινώσκεται ἡ ἑπομένη σημείωσις. «Τέλος τῆς θεματογραφίας τοῦ Δωροθέου Λεσβίου τοῦ χρηματίσαντος διδασκάλου τῆς ἐν Βασιλευούσῃ Σχολῆς· γέγραπται δὲ παρὰ Σταυράκη Θεοδωρίδου τοῦ Βυζαντίου ἐν ἔτει ᾳψπή μηνὶ μαΐου κς'. »

Χερ. γ'. Εἰς 8ον, ἐποχῆς τοῦ ιή. αἰῶνος

Φύλλ. 1—86. Γραμματικὴ ἀνωνύμου.

Φύλλ. 87—101α « Τεχνολογία συντομωτάτη κατ' ἐρώτησιν καὶ ἀπόκρισιν τῶν ὀκτὼ τοῦ λόγου μερῶν κατὰ τὰ παρεπόμενα. »

Φύλλ. 101β—115. «Γραμματικὴ κατὰ πεῦσιν καὶ ἀπόκρισιν. » Ἕπονται τρία φύλλα κενά.

Φύλλ. 119—169α « Τοῦ σοφωτάτου καὶ λογιωτάτου, καὶ πασῶν τῶν ἐπιστημῶν διδασκάλου, καὶ μεγάλου ῥήτορος τῆς Μεγάλης Ἐκκλησίας, ἰατροῦ τε ἀρίστου, του κυρίου κυρίου Ἀλεξάνδρου τοῦ ἐκ Κωνσταντινουπόλεως» περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου. 2) Εἰς τὸ τέλος αὐτῆς ἡ σημείωσις : « ᾳψκή ὦ-

1) Βλ Ζαβίρα, Ν. Ἑλλὰς σ. 273. Ἀντίγραφον τῆς Θεματογραφίας ταύτης ὑπάρχει καὶ ἐν Κ)πόλει. Κ. Σάθα, Μεσ. Βιβλ. Δ'. σ. 293.

2) Βλ. [illegible]ωτ. σ. 12.

κτοβρίου εἰς τὴν ιγ′ ἐν Μαχαλᾶ τῆς Ἀκαρνανίας. Πόνος καὶ κτῆμα Δαμασκηνοῦ ἱερομονάχου ἐκ Λεπαινοῦ.»

Φύλλ. 169β—199. «Ἀναστασίου ἱερομονάχου τοῦ Γορδίου περὶ τῆς κατὰ λόγου ποσότητος τῶν συλλαβῶν. 1)» Εἰς τὸ τέλος: «αψκή δεκεμβρίου κή ἐτελειώθη εἰς Μαχαλᾶν. Πόνος Δαμασκηνοῦ ἱερομονάχου.»

Φύλλ. 200—201α Ἀνωνύμου σημείωσις περὶ τῶν εἰς *ηνος*, *ιον*, *εος* καὶ *ιος* ὀνομάτων.

Φύλλ. 201β—211. «Ἑτέρου τινὸς ἀνωνύμου περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν.» Ἀρχ. «Περὶ μὲν οὖν τοῦ τεχνολογικοῦ μέρους τῆς γραμματικῆς τέχνης κτλ.

Φύλλ. 212—231α. «Ἐγχειρίδιον τῆς μετρικῆς τέχνης ποιηθὲν παρὰ Γερασίμου ἱερομονάχου τοῦ Κρητός, 2) τοῦ τῶν ἐπιστημῶν κατ' ἀμφοτέρας τὰς διαλέκτους καθηγητοῦ καὶ τοῦ ἱεροῦ Εὐαγγελίου κήρυκος.» Εἰς τὸ τέλος τοῦ ἐγχειριδίου ἀναγινώσκονται τὰ ἑπόμενα: «αψκθ′ σεπτεμβρίου ά εἰς Μαχαλᾶν τῆς Ἀκαρνανίας· πόνος Δαμασκηνοῦ Ρωγᾶ ἐκ Λεπαινοῦ τῆς Ἀκαρνανίας.»

Φύλλ. 231β. «Ἕτερον παράδειγμα περὶ μέτρων.»

Φύλλ. 232—251. «Περὶ συντάξεως κατὰ τὴν κοινὴν προφοράν.»

Ἐπὶ τοῦ πρώτου φύλλου τοῦ τεύχους ὑπάρχουσι διάφορα σημειώματα τῶν κατὰ καιροὺς διαφόρων αὐτοῦ κατόχων.

Χειρ. δ′. Εἰς 4ον μικρόν, ἐποχῆς τοῦ ιή αἰῶνος.

Ἀνωνύμου στοιχεῖα ἀριθμητικῆς, γεωμετρίας, ἀλγέβρας καὶ τριγωνομετρίας.

Χειρ. έ. Εἰς 4ον μικρόν, εἰς δύο τόμους καὶ ἐποχῆς ἀρχῶν τοῦ παρόντος αἰῶνος.

Μετάφρασις τῆς περὶ σοφίας συγγραφῆς τοῦ *Pierre Charron*, ἀκμάσαντος κατὰ τὸν ις′ αἰῶνα.

1) Ὅρα Ζαβίρα, Ν. Ἑλλ. σ. 483.—Πρβλ. Σάθα, Νεοελ. Φιλ. σ. 439.

2) Βλ. Σάθα, Νεοελ. Φιλ. σ. 338.

Χειρ. ς′. Εἰς 4ον μικρόν, ἐποχῆς τοῦ ιή αἰῶνος.

«Ἑρμηνεία κατ' ἐρωταπόκρισιν εἰς τὰ ἱερὰ εὐαγγέλια τῶν Κυριακῶν ὅλου τοῦ χρόνου, καὶ ἄλλων τινῶν ἑορτῶν, κατὰ τὸν θεῖον Θεοφύλακτον ἀρχιεπίσκοπον Βουλγαρίας.»

Χειρ ζ′. Εἰς 8ον, ἐποχῆς ἀρχῶν τοῦ παρόντος αἰῶνος.

Περιέχει δὲ ἑρμηνείαν τῶν ψαλμῶν τοῦ Δαυΐδ' κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. Εἰς τὸ τέλος αὐτῆς ἀναγινώσκεται τὸ πρὸς τὸν μέθυσον στιχούργημα, ὅπερ ἐξέδωκα πέρυσι ἐκ τοῦ αὐτοῦ χειρογράφου. 1)

Χειρ. ή. Εἰς 8ον, ἐποχῆς τοῦ ιζ′ αἰῶνος.

Συλλογὴ ἀνεκδότων ἐκκλησιαστικῶν λόγων Μελετίου τοῦ Συρίγου. 2)

Χειρ. θ′. Εἰς 4ον μικρόν.

1) Ψαλμοί τινες τοῦ Δαβίδ· προηγεῖται δὲ αὐτῶν πρόλογός τις.

2) «Ἐκ τοῦ Πατερικοῦ. Περὶ μετανοοῦντος, καὶ πρὸς οἶκτον ἐπικαλοῦντος τοὺς Κύριον.»

3) «Εὐχὴ ἐξομολογητικὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.»

4) «Εὐχὴ εἰς τὸν τίμιον σταυρὸν ἐπὶ δειλίαν.»

5) «Τοῦ Θηκαρᾶ μοναχοῦ οἱ περὶ πίστεως λόγοι.»

6) «Τοῦ ἁγίου Ἀναστασίου ὅτι ἀπερίγραπτος ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ τὴν θεότητα, περιγραπτὸς δὲ κατὰ τὸ ἀνθρώπινον, καὶ πῶς δεῖ νοεῖν τὴν τῶν δύο φύσεων ἀσύγχυτον ἕνωσιν.»

7) «Τοῦ ἐν ἁγίοις Γρηγορίου Νύσσης ἐκ τῶν ἀπόρων περὶ τοῦ τί ἐστι τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν.»

8) «Μαρτυρίαι καὶ ἀποδείξεις τῶν ἁγίων ἀποστόλων, καὶ θεοφόρων πατέρων περὶ τοῦ ἀξιοχρέως αἰνεῖν, δοξολογεῖν καὶ εὐχαριστεῖν τὸν ἕνα ἐν τριάδι ὑπερύμνητον θεὸν ἐπὶ τοῖς θαυμασίοις αὐτοῦ, ἐκλεγεῖσαι κατ' ἐπιτομὴν ἐκ τῆς διηγήσεως τοῦ ἐν μοναχοῖς

1) Βλ. Μουσεῖον καὶ Βιβλιοθ. 1876. σ. 94.

2) Ὅρα τὸν κατάλογον αὐτῶν παρὰ Σάθα, Ν. Φ. σ. 258.

Θεοδούλου, μαθητοῦ τοῦ ἐκλέξαντος καὶ συνταξαμένου τοὺς θείους ὕμνους, τοῦ Θηκαρᾶ ἐπονομασθέντος. »

9) Ἐκλογὴ ἐκ τῶν τοῦ Διονυσίου μοναχοῦ γνωστικῶν κεφαλαίων περὶ διαφορᾶς τῶν θείων ὕμνων. »

10) « Εὐχὴ ἀναγινωσκομένη τῇ παρασκευῇ ἀντὶ τοῦ ἀμώμου. »

11) « Νικηφόρου ἡ εὐχὴ τοῦ Ξανθοπούλου. »

12) « Εὐχὴ ἑτέρα τοῖς αἱρουμένοις. »

13) « Εὐχὴ μετὰ τὴν ἀπόλυσιν τῆς ἀκολουθίας διὰ τὰς ἐν τῷ μεταξὺ τῆς δοξολογίας συμβαινούσας παρατροπάς. »

14) « Ἐπιτομὴ ἐκ τῶν προφητανακτοδαβιτικῶν ψαλμῶν, τῶν εὐχῶν μόνων ἐκλεγεισῶν παρὰ τοῦ παναγιωτάτου καὶ σοφολογιωτάτου Γενναδίου ἀρχιεπισκόπου Κ)πόλεως τοῦ Σχολαρίου, παρεκτὸς τῶν τῆς ἡμερονυκτίου ἀκολουθίας, ἑσπερινοῦ φημί, ἀποδείπνου, μεσονυκτικοῦ ἐξαψάλμου καὶ πασῶν τῶν ὡρῶν. »

15) « Δήλωσις δὲ πόθεν ἀναβαθμοὶ κέκληνται Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου. »

Χειρ. ι. Εἰς 4ον, ἐποχῆς ἀρχῶν τοῦ ιά. αἰῶνος.

1) Παράκλησις εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν. Ποίημα Νικηφόρου ἱερομονάχου Ῥοδίου τοῦ Κρητός.

2) Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

3) Εὐχαὶ λεγόμεναι εἰς ἀσθενῆ.

4) Ἑτέρα εἰς ἀσθενῆ καὶ μὴ ὑπνοῦντα.

5) Εὐχὴ ἑτέρα τοῦ ἁγίου Προκοπίου, ἥτις λέγεται εἰς φύλαξιν χριστιανῶν ἀπὸ παντὸς ἀνιαροῦ καὶ ἐναντίου συναντήσεως.

6) Εὐχὴ τοῦ Χρυσοστόμου εἰς πᾶσαν ἀσθένειαν.

7) Εὐχαὶ τοῦ ἁγίου μεγαλομάρτυρος Μίμαντος λεγομένη ὅταν ἐνσκήψῃ λοιμώδης νόσος ἐν τοῖς κτήνεσι.

8) Εὐχὴ λεγομένη εἰς μεταξοσκωλήκια.

9) Εὐχὴ εἰς πᾶσαν ἀσθένειαν.

10) Εὐχὴ εἰς τὸ εὐλογῆσαι πεῖναν.

11) Τάξις γινομένη εἰς χωράφια καὶ εἰς ἀμπελῶνα.

12) Εὐχὴ τοῦ ἁγίου Μοδέστου, λεγομένη ἐν τοῖς κτήνεσιν.

13) Εὐχὴ τῶν ἑπτὰ παίδων εἰς ἀσθενῆ καὶ μὴ ὑπνοῦντα.

14) Ποίαις ἡμέραις εἶναι καλαῖς νὰ φλεβοτομῇ καὶ ποίαις εἶναι ἄτυχες.

15) Εὐχὴ εἰς μελίσσια.

16) Εὐχὴ εἰς βασκανίαν.

17) Εὐχὴ εἰς τὰ κουκούλια.

18) Εὐχὴ ἐπὶ τῆς μετάξης εἴτε θηρικῆς πλοκῆς.

Χειρ. ιά. Εἰς 8ον, ἐποχῆς τοῦ ιή αἰῶνος.

1) «Διάγνωσις τοῦ σοφωτάτου καὶ λογιωτάτου Μεγάλου Λογοθέτου τῆς Μεγάλης ἐκκλησίας Κυρίου Κυρίου Ἰωάννου τοῦ Καρυοφύλλου.» Ἀρχ. «Ἐκθέσεις ἀντικείμεναι δύο ἀλλήλαις ἐστάλησαν παρ' ἐμοί, ἐπὶ διαγνώσει τε τούτων καὶ διακρίσει, ὁποῖος ἄρα καὶ τὸν νοῦν ὑγιέστερον σώζει, καὶ τὸ φρόνημα ἀληθέστερον δείκνυσιν; Ἔγνων μὲν οὖν τὴν ἑτέραν ἀπό τε τοῦ χαρακτῆρος καὶ τῆς φράσεως τοῦ Μητροπολίτου Νύσσης εἶναι κὺρ Γερμανοῦ, ἡ ἑτέρα δὲ οὐκ ἔγνωσταί μοι σαφῶς ὁποίου ἂν ἀνδρὸς ἀπόκυημα εἴη.»

2) «Σεβαστοῦ Τραπεζουντίου τοῦ Κυμινήτου σύντομος θεωρία περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας» Ἀρχ. «Οἱ λατῖνοι φθέγγοντες τὴν ἐπὶ Θεοῦ σύνθεσιν καὶ πολυθεΐαν διὰ τὴν ἐκείνου ἁπλότητα οὐ παραδέχονται οὐδεμίαν διάκρισιν ἐπὶ Θεοῦ οὐσίας καὶ ἐνεργείας.»

3) «Τῷ εὐλαβεστάτῳ, ἱερολογιωτάτῳ, ἀγχινουστάτῳ, καὶ κατὰ πάντα μοι ἐν Χριστῷ σεβασμιωτάτῳ κυρίῳ Χρυσάνθῳ ἀρχιδιακόνῳ τοῦ μακαριωτάτου ἡμῶν αὐθεντὸς καὶ δεσπότου κυρίου κυρίου Δοσιθέου πᾶν ἐν Χριστῷ καταθύμιον. Περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας Σεβαστὸς Τραπεζούντιος ὁ Κυμινήτης.» Ἀρχ. «Ὑπὲρ μὲν οὖν ὧν πρὸ σκοποῦ γράφεις ἡμῖν, ἀξίως τῳόντι τῆς σῆς ἀγχινοίας ἐφ' οἷς ῥαθυμίαν ἡμῖν ἐγκαλεῖς.» Εἰς τὸ τέλος. «Ὁ ἐλάχιστος ἐν σπουδαίοις, καὶ σὸς ποτὲ χρηματίσας εἰ καὶ εὐτελής, ὅμως εἴπω καθηγητής, Σεβαστὸς Τραπεζούντιος ὁ Κυμινήτης. ,αχ..

νοεμβ. κέ ἀπὸ Τραπεζοῦντος εἰς Κωνσταντινούπολιν.»

4) «Ἔνστασις τοῦ μακαριωτάτου μου αὐθέντος καὶ δεσπότου κυρίου κυρίου Δοσιθέου, πρὸς δύο τινὰ τῶν ἐμφερομένων ἐν τῷ ἡμετέρῳ σχεδίῳ καὶ ἀπάντησις πρὸς αὐτήν.» Ἄρχεται τεμάχιον τῆς πρὸς αὐτὸν ἐπιστολῆς τοῦ Δοσιθέου, μεθ' ἣν ἕπεται ἡ ἀπάντησις.

5) «Εὐστρατίου μητροπολίου Νικαίας, διάλογος ἐκτεθεὶς ὅτε ἡ ἀμφισβήτησις περὶ τῶν ἁγίων εἰκόνων ἐγένετο, πῶς δεῖ προσκυνεῖσθαι καὶ τιμᾶσθαι αὐτάς, σχετικῶς ἢ λατρευτικῶς. Τοῦ τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος μητροπολίτου Λέοντος, καὶ τῶν συνιστημένων αὐτῷ, πρὸς τὸ λοιπὸν ἅπαν πλήρωμα τῆς ἐκκλησίας ἀντιπιπτόντων, καὶ λατρευτικὴν ἀπονέμειν φιλονεικούντων τὴν προσκύνησιν ταῖς γεγραμμέναις εἰκόσι τοῦ Σωτῆρος Χριστοῦ, ἣν μόνῃ τῇ θεότητι ἡ ἐκκλησία ἔλεγεν ὀφείλεσθαι, τῇ δὲ ἁγίᾳ εἰκόνι τὸ σχετικόν τε καὶ ἀναφορικὸν τῆς προσκυνήσεως ἐφαρμόττειν καὶ τῆς τιμῆς.»

Χειρ. ιδ'. Εἰς 4ον, ἐποχῆς τοῦ ιθ' αἰῶνος.

α) Στοιχεῖα μεταφυσικῆς. Ἀρχ. «Ἐκ φύσεως οἱ ἄνθρωποι ἀποφαίνεται Ἀριστοτέλης.» Εἰς τὸ τέλος «νοεμβρίου ἡ ἐν χιλιοστῷ ὀκτακοσιοστῷ ἕκτῳ.»

β) Στοιχεῖα ἠθικῆς. Ἀρχ. «ἡ μεταφυσικὴ ὡς εἴδομεν ἔχει διὰ ὑποκείμενον» Εἰς τὸ τέλος αὐτῆς «σύνθεμα τοῦ κὺρ Βενιαμίν.»

Χειρ. ιέ. Εἰς σχῆμα μικρόν, ἐποχῆς τοῦ ιή αἰῶνος.

1) Προοίμιον «τοῖς ἐντυγχάνουσιν» Δανιὴλ Κεραμέως.

2) Τοῦ αὐτοῦ «τοῖς μαθητιῶσιν Ἑλλήνων παισὶ εἰσαγωγὴ περὶ τοῦ ὅπως δεῖ ἑρμηνεύειν τὸν κατὰ γραμματικὴν λόγον, οἷς καὶ τὸ χαίρειν ἀπονέμω.»

3) Περὶ συμφωνιῶν καὶ πτώσεων.»

4) Ἔκθεσις κατὰ πεῦσιν καὶ ἀπόκρισιν γραμματικῆς, φιλοπονηθεῖσα χάριν τῶν φιλομαθῶν παρὰ Δανιὴλ μοναχοῦ Πατμίου.»

Εἰς τὸ τέλος αὐτοῦ «ὁ γράψας τουτὶ τὸ βιβλίον Κωνσταντῖνος Πελοποννήσιος.»

Χειρ. ιϛ'. Εἰς 8ον, ἐποχῆς τοῦ ιϛ' αἰῶνος.

1) «Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

2) «Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου »

3) «Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

4) Οἱ χαιρετισμοὶ τῆς Θεοτόκου.

5) «Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.»

Ἐγράφη «ἐν ἔτει ͵ϛζ' ἰδικτιῶνος θ.»

Χειρ. ιζ'. Εἰς 8ον μικρόν, ἐποχῆς τοῦ ιὴ αἰῶνος.

1) «Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.»

2) «Τάξις γενομένη εἰς χωράφιον ἢ εἰς κῆπον ἢ εἰς ἀμπελῶνα εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν ἢ ἄλλων εἰδῶν.»

Ἕπονται διάφοροι εὐχαὶ λεγόμεναι εἰς διαφόρους περιστάσεις.

Εἰς τὸ τέλος ἀναγινώσκεται ἡ σημείωσις.

«Ἡ μὲν χὴρ ἐγράψασα ταχέως, ἀπέρχεται ἐν τῷ τάφῳ ἡ δὲ βύβλος μένει ἐν τῷ ἐντῶδε τῷ βίῳ· ἐγράπτη ὑπὸ χειρὸς ἐμοῦ τοῦ ἀμαθοῦς ὑπὲρ πάντας Δημη(τρίου) ἱερέως καὶ ἀφιερώθη εἰς τὴν θεῖαν ἱερὰν βασιλικὴν καὶ πατριαρχικὴν μονὴν τοῦ Μεγάλου Σπηλαίου ἐνῷ εὑρίσκεται εἰς τὴν νῆσον τῆς περιφανῆς καὶ περιφ' ἥμον Πέλοπος διὰ συνδρομῆς τοῦ πανοσιωτάτου καὶ ἁγιωτάτου ἐν ἱερομονάχοις καὶ πνευματικῆς . . . κωκω Παφνουτίῳ—ἱερὲς ὑπηρεσίαις τοῦ ἁγίου μοναστηρίου διὰ μίαν μικρὴν πρόσθεσιν αὐτῷ εἰς τὰ ἐναπολυφθέντα διὰ γρόσια πέντε καὶ ὅσοι ἀναγινώσκετε εἰς τὴν παροῦσαν βύβλον δεηθῆτε καὶ παρακαλέσατε τὸν παμκτήρμονα Θεὸν καὶ δεσπότην κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν πανάχραντον καὶ ὑπεραγίαν αὐτοῦ μητέρα διὰ τὴν ἁμαρτωλὴν δούλην σας Εὐγενία πρεσβυτέρα.

Ἕπονται διάφοροι σημειώσεις. Ἐγράφη δὲ τῷ 1719 κατὰ σεπτέμβριον.

Χειρ. ιή. εἰς 8ον, ἐποχῆς τοῦ ιή αἰῶνος.

«Μαντινάδαις διάφοραις» γραφεῖσαι ἐν Πάτμῳ κατὰ ἰούλιον τοῦ 1773.

B

Λόγος κατὰ τοῦ λατινόφρονος Νεοφύτου τοῦ Ροδινοῦ παρὰ Νικηφόρου τοῦ Πριγγιλέος. 1)

Δεῦτε ὅσοι πιστοί, καὶ τέκνα πιστὰ τῆς ἀνατολικῆς ἐκκλησίας, δεῦτε . . . . συγκροτήσωμεν πόλεμον ἐπαινετόν, μάχην θείαν καὶ . . . . . . [λιθοβολή]σωμεν τὸν λατινόφρονα Νεόφυτον τὸν Ροδινόν, οὐ λίθοις αἰσθητοῖς, ἀλλὰ λόγοις τοῦ ἁγίου Πνεύματος, οὐ λίθοις αἱμάσσουσι σῶμα, ἀλλὰ λόγοις τοξεύουσι τὴν ψυχὴν τὴν κακόφρονα· οὗτος καὶ γὰρ τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, τὴν ὄντως καθαρὰν καὶ ἀμόλυντον, ὅτι ἔμεινεν ἀκατάκλυστον τοῦ κατακλυσμοῦ τῶν ὑδάτων, δηλαδὴ τῶν νεωτερικῶν δογμάτων τῶν παπιστῶν, προῆλθε μάτην τοξεύειν τοῖς ματαίοις αὐτοῦ τοξεύμασιν. Ἀλλ' ὄντως οὐ γὰρ ταύτην, ἀλλ' αὐτὸν τοῖς ἰδίοις πτεροῖς κατατιτρώσκει· οἱ γὰρ πρὸς κέντρα λακτίζοντες ἑαυτοὺς οὐ τὰ κέντρα βλάπτουσι. Δεῦτε τοίνυν καὶ τοῖς λίθοις τοῦ λόγου βάλωμεν, ὥσπερ ὁ μακαριώτατος Δαβὶδ τὸν Γολιάθ· καὶ γὰρ ἐκεῖνος μὲν ἐπανέστη κατὰ τοῦ παλαιοῦ Ἰσραήλ, οὗτος δὲ κατὰ τοῦ νέου· ἐθαύμασε μὲν ἐκεῖνος τὴν παράταξιν τῶν ἀλλοφύλων ὡς ἀλλόφυλος, καὶ οὗτος τὴν καινοτομίαν τῶν Λατίνων ὡς λατινόφρων· καὶ διὰ τοῦτο οὐκ ἀπέστη ὀνειδίζων λαὸν περιούσιον, ἔθνος ἅγιον, ἐκκλησίαν πρὸ τῶν αἰώνων προωρισμένην, καὶ ἐκλελεγμένην εἰς δόξαν Θεοῦ. Ἀλλ' οἷον ἔφησθα κ' ἔπος, λέγει τις τῶν θύραθεν ποιητῶν, τοῖον καὶ ἐπακούσεις. Οὐκοῦν οὔτ' ἔξω τοῦ λόγου γενήσεται τὸ παρὸν τοῦ λόγου συγκρότημα, οὔτε πόρρω τῆς ἀληθείας· οὐ γὰρ δίκαιον οὐδ' ὅσιον ἡμᾶς μὲν σιωπὴν ἀσκεῖν, τοὺς τὰ δίκαια ἔχοντας μεθ' ἑαυτῶν, τοὺς δ' ἀδικοῦντας καὶ τὰ ψευδῆ λέγοντας καὶ φλυαροῦντας ἀνεξελέγκτους ἐάσωμεν. Οὔκουν οὐδαμῶς σιωπήσωμεν, ἀλλὰ δὴ ἐν τῷ παρόντι λόγῳ ἀποδείξωμεν ὄντα τοῦτον ψεύστην, εἴρωνα, βλάσφημον, κατήγορον τῆς ἀληθείας, καὶ μάτην μεμφόμενον τοὺς μακαρίους ἄνδρας καὶ προστάτας τῆς ἡμῶν ἱερᾶς ἐκκλησίας, Φώτιον τὸν ἁγιώτατον πατριάρχην, Μάρκον τὸν μακαριώτατον τῆς Ἐφεσίων ἐκκλησίας πρόεδρον, καὶ τὸν αὐτοῦ καθηγεμόνα Ἰωσὴφ τὸν Βρυέννιον, πρὸς δὲ τούτοις Πηγᾶν τὸν μακαριώτατον τῆς Ἀλεξανδρείας πάπαν καὶ πατριάρχην, Μελέτιον, καὶ Μάξιμον τὸν σοφώτατον καὶ μακαριώτατον Μαργούνιον, καὶ ἄλλους γεραροὺς ἄνδρας· οὐ γὰρ μεμφόμεθα τοῦτον, ὅτι διαβάλλει τοὺς φοιτητὰς τοῦ Καλουΐνου, καὶ Λουθήρου (ἐπεὶ καὶ ἡμεῖς αὐτοὺς πολλάκις ἐγγράφως αὐτοὺς κατηγορήσαμεν), ἀλλὰ μεμφόμεθα, ὅτι τοὺς διαλάμψαντας ἐπ' εὐσεβείᾳ καὶ ὀρθῷ βίῳ, καὶ ὑπερμαχήσαντας ὑπὲρ ἀληθείας, κατηγορεῖ ἀθύρῳ γλώττῃ καὶ στόματι. Ἠβουλόμην ποτὲ περιτυχεῖν αὐτοψεὶ αὐτῷ τῷ Νεοφύτῳ καὶ εἶχον ἂν αὐτὸν ὀνειδίσαι οὐκ ἀλόγως· ἀλλ' ἐπειδὴ τούτου μὲν διημάρτομεν, διὰ γράμματος τουτουὶ οὐκ ἀποστησόμεθα καταμυκῶσαι, καὶ κατθάψασθαι τούτου. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν προοιμίῳ τοῦ λόγου καὶ προδιηγήσει εἰρήσθω· ἀρξώμεθα δὲ καὶ τοῦ λόγου σὺν Θεῷ. Πρῶτον τοίνυν οὗτος ὁ Νεόφυτος ἐπαινεῖ μὲν τοὺς παῖδας τῶν Λατίνων, καὶ τοὺς ὑπὸ τὸν Πάπαν ὡς σοφούς, καὶ ἐπιστήμην ἔχοντας ἀριστοτελικήν, καὶ φιλοσοφοῦντας μετ' ἐπιστήμης λογικῆς, καὶ μεθόδου διαλεκτικῆς, ψέγει δὲ τοὺς καθ' ἡμᾶς μονάζοντας, καὶ τοὺς τὴν φροντίδα τῶν ψυχῶν ἀναδεξαμένους ὡς ἀγραμμάτους, καὶ ἰδιώτας, καὶ μιξομένους ἔχοντας γλῶτταν περὶ τὰ περιττὰ καὶ μάταια τεχνολογήματα πρὸς ὃν ἀποκριτέον. «Τὰ μέσα, κατὰ τοὺς σοφοὺς καὶ ἱεροὺς Θεολόγους, οὔτ' ἐκεῖνα τὸν ἔπαινον ἔχουσιν, οὔτε ταῦτα τὸν ψόγον· ἀλλ' ἄμφω μὲν καλὰ γίνονται, ὀρθῶς διακείμενοι οἱ ταῦτα μετερχόμενοι, κακῶς

1) Ἀντιγραφὴ ἐκ τοῦ χειρ. Β—27. Περὶ τοῦ συγγραφέως δὲ αὐτοῦ ὅρα ἀνωτ. σ. 39 ὑποσ. 3.

δὲ φρονοῦντες οἱ ταῦτα ἔχοντες, ἄμφω τὰ μέρη, βλάπτονται.» Σκόπει ὦ λῷστε τὴν σοφίαν τοῦ Ὠριγένους, τοῦ Ἀρείου, τοῦ Εὐνομίου, τοῦ Ἀετίου. Τί ἀπώναντο οὗτοι ἐκ τῆς περιττῆς σοφίας καὶ τῆς διωλυγίου διαλεκτικῆς; καὶ ἐκ τοῦ ἐναντίου σκέψαι τὸ ἄσοφον τοῦ μεγάλου Ἀντωνίου, καὶ τοὺς κατὰ τοῦτον, οἷοι ἐγένοντο δι' ἀρετῆς καὶ τῆς ἄλλης φιλοσοφίας· οὐχὶ ἰσάγγελοι ἐγένοντο; οὐχὶ διέλαμψαν ἐν τῷ κόσμῳ ὡς φωστῆρες ἀειλαμπεῖς; ὡς λαμπτῆρες παγκόσμιοι; ὡς ἐγκαλλωπίσματα τῆς τοῦ Χριστοῦ ἐκκλησίας; Σοφία γὰρ μετ' ἀρετῆς καὶ πρότερον μετ' εὐσεβείας, ἐπίσκοπον πρᾶγμα· ἄνευ δὲ τούτων ὅσον μᾶλλόν τις σοφὸς, τοσοῦτον καὶ μᾶλλον μάταιος. Ὅθεν ὁ κατ' ἐξοχὴν Θεολόγος ἔφασκεν «ἄφωνον ἔργον κρεῖσσον ἀπράκτου λόγου· βίου μὲν οὐδείς ποθ' ὑψώθη δίχα, λόγου δὲ πολλοὶ τοῦ καλῶς ψοφουμένου· οὐ γὰρ λαλούντων εὖ, βιούντων δ' ἡ χάρις.» Μάτην ἄρα πτερυγίζεις ἄνω καὶ κάτω περιθρυλλῶν καὶ ἐπαίρων τοὺς σοφοὺς τῆς Ῥώμης. Ἀλλ' αὐτὸς μὲν ἐπαινεῖς αὐτοὺς ὡς σοφοὺς τοῖς λόγοις; ἐγὼ δὲ μᾶλλον αὐτοὺς δι' ὑποψίας ἔχω, ὅτι τὸν Ἑρμῆν ἔχοντες ἐπὶ στόματος, ὡς λέγετε, περιφρονεῖτε τὴν ἀλήθειαν, καὶ κενῆς δόξης ὀρεγόμενοι, καινῆς δόξης γεγόνατε ἐρασταί. Ἦν γὰρ καιρὸς ὅτε τὸ ἁπλοῦν τοῦ λόγου πάροδον εἶχεν εἰς τὴν ἐκκλησίαν. Ἀφοῦ δὲ Σέκτοι καὶ Πύρωνες καὶ ἡ ἀντίθετος γλῶσσα εἰσεκώμασε, πολὺς μὲν ὁ θόρυβος ἐγένετο, πολλὴ δὲ ἡ σύγχυσις. Ὅθεν καὶ ὁ θεόσοφος Παῦλος πρὸς Κορινθίους «ἦλθον πρὸς ὑμᾶς οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, ἀλλ' ἀγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ· οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.» Τί οὖν ἐπαίρεις τοσοῦτον τὴν σοφίαν, ἥτις πολλάκις γίνεται ὄργανον πονηρίας τοῖς πονηροῖς, ὡς εἴρηται; «σοφία γὰρ βίος ἐπαινετὸς, καὶ Θεῷ κεκαθαρμένος ἢ καθαιρόμενος· σοφία τὸ ὑπερορᾶν τῆς ἐν λόγῳ σοφίας,» ὡς ἔφη ὁ Θεολόγος καὶ μάτην μέμφῃ τοῖς ἐν τῷ ἁγίῳ ὄρει μονάζουσιν, ὅτι παρεῖδον τὴν σοφίαν. Καὶ γὰρ παρεβλέψαντο εὐφυῶς καὶ φρονίμως· οὐ γὰρ τῆς καθ' ἡμᾶς ἐκκλησίας ὑπάρχεις ὄργανον ἀλλὰ τοῖς τοῦ Ῥώμης ὑπερασπίζων δόγμασιν, ὃν καὶ ἐπαίρεις ὡς ἀρχιποίμενα καὶ διάδοχον τοῦ κορυφαίου τῶν ἀποστόλων τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Ἀλλὰ σὺ μὲν καὶ οἱ κατὰ σὲ οὕτω περιττῶς ἐπαίρετε τὴν ἐξουσίαν τοῦ Ῥώμης Πάπα· ὁ θεσπέσιος δὲ Νεῖλος, ἕτεροι καὶ ἄλλοι τὴν τοιαύτην ἐξουσίαν σοφῶς καὶ συνετῶς καὶ θείως ἀνεσκεύασαν μὴ εἶναι ἐκ τοῦ μακαρίου Πέτρου, ὡς νομίζουσι Λατῖνοι, ἀλλ' ἐκ τῆς ἱερᾶς συνόδου. Καὶ μάτην ἐπαίρουσι Λατίνων παῖδες τὸ τοῦ Ῥώμης προνόμιον, ὡς καὐτὸς, καὶ φρονίμως ἀπεσκοράκισαν τὴν σοφίαν σου ἵνα μὴ λάθωσιν ἀντὶ τεχνολογίας ὀνομάτων καὶ ῥημάτων, καὶ τῆς ἄλλης σου μεμωραμένης σοφίας, ἀπολέσωσι τὸν θησαυρὸν τῆς ζωῆς, τὴν ὀρθοδοξίαν. Μὴ οὖν ὕβριζε αὐτοὺς, ὡς τὴν μὲν σοφίαν παραβλέψαντας, τὴν δὲ φροντίδα περὶ τὰ ἀναγκαῖα τῆς ζωῆς ἔχοντας. Καὶ γὰρ ὁ φιλόσοφος ἐν τῇ διαλεκτικῇ προτιμᾷ τὴν τοιαύτην φροντίδα τῆς σοφίας· ἀλλ' αὐτὸς ὑπὸ φθόνου πολλοῦ ἀπολλέσας τὸ εὖ φρονεῖν, ὡς ἄδικον κρίνεις τὸ δίκαιον, καὶ τὸ χρήσιμον τοῦ ἀναγκαίου προτιμᾷς καὶ τοὺς μὲν ὑπὸ τὸν πάπαν πολυχρύσους καὶ πολυταλάντους ἐπαινεῖς ὡς ἀναργύρους καὶ ἀφιλοχρημάτους, τοὺς δὲ μὴ ἔχοντας ὑπὲρ τὴν χρείαν ὀνειδίζεις ὡς ἐραστὰς χρημάτων. Καὶ γέγονας αὐτοφυὴς κόλαξ· τῶν γὰρ κολάκων ἐπαινεῖν καὶ ψέγειν χωρὶς λόγου, καὶ εἴρωνος, καὶ τοῦ ὑποκριτοῦ καὶ τοῦ ματαιολόγου. Καὶ ταῦτα μὲν εἰς τόσοῦτον, αὐτὸς δὲ ὑπὸ τῆς μέθης τοῦ φθόνου τὰς φρένας σκοτισθεὶς, καὶ μήτε ἃ λέγεις ἐννοῶν, μήτε ἃ ἐπαινεῖς ἐν νῷ βάλλων, ἀντιφάσει περιπίπτων προσπταίεις καὶ χωλαίνεις κατὰ σαυτοῦ· πρότερον γὰρ τὴν μὲν σοφίαν ἐπῇρες ὡς μέγα τι χρῆμα, παρελθὼν δὲ μικρὸν πάλιν ταύτην σκότος ὠνόμαζες· οὔτε μὲν γὰρ ὡς ἀρετὴν ἀσκοῦντας ἐθαύμαζες τοὺς περὶ τὸν Πάπαν, οὔτε ὡς ἀσκήσει χρωμένους καὶ βίῳ ἀγγελικῷ, ἀλλὰ μόνον ὡς σοφίᾳ κεκοσμημένους. Τοιοῦτος δὲ καὶ ὁ ἱερὸς Φώτιος, ὃς

ὑπὲρ ἐκείνους μὲν πάντας σοφίᾳ ἐκεκόσμητο, ἀρετῇ δὲ καὶ γνώσει, καὶ βίῳ πρακτικῷ, καὶ θεωρητικῷ οὐδενὸς τῶν πάλαι Ἱερῶν ἥττων. Ἀλλ' αὐτὸς γοῦν μικρὸν φροντίσας τοῦ γέλωτος τὸν τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα, ἁγιωσύνῃ καὶ ἱερωσύνῃ κεκοσμημένον ἀγγελοπρεπῆ, ἔφθης κατηγορῶν. Καὶ πῶς οὐκ ἔφριξε τὸ σὸν στόμα ἀνοιγόμενον κατὰ τοῦ τοιούτου ἀνδρός; καὶ πῶς οὐκ ἐξεπλάγης κατηγορῶν ἄνδρα τοιοῦτον θαυμαστὸν κατὰ πάντα; καὶ πῶς οὐκ εὐλάβης ὑβρίζων ἄνθρωπον θεοῦ ταῖς ἀρεταῖς, καὶ τῇ εὐσεβείᾳ κεκοσμημένον; Ἴσως νομίζεις εἶναι ὅμοιον τῷ Πάπᾳ, ὃν νῦν σὺ κολακεύεις καὶ ἐπαίρεις εἶναι διάδοχον τοῦ Πέτρου. Ἀλλ' ἀκούσεις τι παρ' ἡμῶν ὦ δείλαιε, ὅτι οὔτ' αὐτός, οὔθ' ὃν νῦν σὺ ὑψοῖς Πάπαν πολλοστὸς γενήσεται πρὸς τὸν τοιοῦτον ἄνδρα συγκρίνεσθαι. «Τί γὰρ ὠφελήσει ἄνθρωπον, φησὶν ὁ Κύριος, ἐὰν ὅλον τὸν κόσμον κερδίσῃ, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;» Οὕτω καὶ ὁ Πάπας, ὃν αὐτὸς ὑψοῖς τοῖς ἐπαίνοις οὐδὲν ὠφεληθήσεται ὑπερβαίνων τὰ ὅρια τῶν ἁγίων Πατέρων. Ἔχω εἰπεῖν καὶ οὐκ ἔξω τοῦ προσήκοντος, ὅτι ἐὰν πλούτῳ καὶ δόξῃ κοσμικῇ οὐκ ἐδοξάζετο, οὐδεὶς προσέσχεν αὐτῷ τῶν σοφῶν, οὓς αὐτὸς ἐπαίρεις ὡς μέγα χρῆμα. Διὰ τῆς κοσμικῆς ἄρα καὶ οὐ διὰ τῆς πνευματικῆς χάριτος ἕλκει ὁ Πάπας τοὺς πολλούς. Μετάμελος ἄρα γίνου, Ῥοδινέ, καὶ μὴ ὕβριζε Φώτιον, τὸ φῶς τοῦ κόσμου· οὐ γὰρ ἀσκόπως, ὡς αὐτὸς νομίζεις, ἐστέρησε τὸν Πάπαν τῆς ἐκφωνήσεως τῶν ὀρθοδόξων Πατριαρχῶν, ἀλλὰ δι' αἰτίαν καὶ ταύτην οὐ σμικράν, ἀλλὰ ἣν αἱ ἑπτὰ ἅγιαι σύνοδοι δι' ἀναθέματος ἐκύρωσαν. Οὐκ ἔστιν ἄρα ὁ ἱερὸς Φώτιος σκότος, ὡς αὐτὸς ὑπολαμβάνεις ψευδῶς· ἀλλ' ἔστι φῶς, ὡς φωτὸς υἱὸς καὶ ἡμέρας. Καὶ ὑπερμαχῶν μὲν ὑπὲρ τῆς ἀληθείας τῶν θείων δογμάτων τῆς ἀληθείας, ἐλέγχων δὲ μετὰ παρρησίας τοὺς ἀποστάτας τῶν ὅρων τῶν ἱερῶν συνόδων. Ἢ τάχα καὶ τυφλῷ οὐκ ἔστι δῆλον, ὅτι ὁ Πάπας ὑπερφρονεῖ τῶν ἀποφάσεων τῶν ἱερῶν συνόδων; Διατί οὖν, ὦ βέλτιστε Νεόφυτε, τὴν μὲν ἀλήθειαν ἀποφεύγεις, τῷ δὲ ψεύδει προστρέχεις; Ἢ τάχα οὐκ ἀΐεις λέγοντος τοῦ προφητάνακτος τό, «ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων;» Καὶ Παύλου «ἐὰν ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην;» Ἀλλ' ἴσως καὶ αὐτὸς ἠπατήθης, ὥσπερ καὶ πρότερον Καρύφυλλος, καὶ Ἀρκούδης, οἳ διὰ μικρὰν δόξαν προὔδωκαν τὴν ἀλήθειαν. Εἰ μὲν γὰρ ἦν ὁ Πάπας τοῦ καθ' ἡμᾶς χρόνου κατ' ἀρετὴν ὅμοιος τῷ μακαρίῳ Γρηγορίῳ τοῦ Διαλόγου, καὶ Ἰουλίῳ, καὶ Ἀγάθωνι, καὶ Λέοντι, πάντες πάντως ἂν ὑπέκυπτον χωρὶς πάσης ἀντιλογίας αὐτῷ· εἰ δὲ τῆς ἐκείνων ἀρετῆς καὶ αὐτῶν δογμάτων μακρῷ τῷ ὄντι ἀπολείπεται, πῶς οὐχὶ ματαίως περιποιεῖται καὶ περιβάλλεται τὴν ἐκείνων δόξαν; οὐ γὰρ οἱ τῆς ἁγίας Γ'. καὶ Δ'. συνόδου ἅγιοι πατέρες ὑπερφυῶς ἤρουν τῆς ἀποφάσεως τοῦ Πάπα τῆς Ῥώμης διὰ τὸ ἀξίωμα, ἀλλὰ διὰ τὴν ἀρετὴν καὶ ἁγιότητα· ἐπεὶ καὶ ὁ Ὀνώριος, πάπας ἦν τῆς Ῥώμης, ἀλλ' ἀναθέματι καθυπεβλήθη σὺν πᾶσι τοῖς ἄλλης αἱρετικοῖς. Μὴ οὖν ὕψου τὸ ἀξίωμα τοῦ Πάπα τοσοῦτον διὰ τὴν διαδοχὴν τοῦ μακαρίου Πέτρου· ἐπειδὴ ὅσον ἐπαίρεις, τοσοῦτον ταπεινοῖς, «μία γὰρ μόνη ὕψωσις ἡ ταπείνωσις,» ὡς ἔφη Χριστὸς ὁ Θεὸς ἡμῶν· «ὁ θέλων πρῶτος εἶναι ἔστω πάντων ἔσχατος· ὁ δὲ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται». Καὶ γὰρ καὶ αὐτὸς ὁ Πέτρος, διότι ὑψώθη, ἐταπεινώθη καὶ ἔκλαυσε πικρῶς· καὶ διότι ἐταπεινώθη ὑψώθη ὑπερφυῶς. Μέγιστον μὲν οὖν τὸ ἀξίωμα τῆς ἱερωσύνης, καὶ τοσοῦτον μέγιστον, ὅτι καὶ συγκρινόμενον τοῖς νοεροῖς ἀγγέλοις ὑπέρτερον εὑρίσκεται κατὰ τὸν τὴν γλῶτταν χρυσοῦν, βαθμὸς δὲ ἱερωσύνης βαθμὸν ὑπερέχει, καὶ ἔσχατος βαθμὸς καὶ πρῶτος κατὰ τὸ ἀξίωμα. Κατὰ τὴν ἀποψήφισιν τῆς Β'. ἱερᾶς συνόδου ἐστὶ τὸ τοῦ Ῥώμης· ἀλλ' οὐκ ἔστερξεν, ὅπερ ἡ ἱερὰ σύνοδος ἐκύρωσεν, ὁ Ῥώμης δεσπότης, ἀλλὰ τὰ ὅρια τῶν θείων πατέρων ὑπερβάς, πάντων μὲν ἀρχιερέων, καὶ πατριαρχῶν, κατὰ δόξαν πρῶτον ἑαυτὸν προσηγόρευσε. Χάριν δὲ τῆς τοιαύτης ὑπεροχῆς ὡς προκάλυμμα τὸ ἀξίωμα τοῦ κο-

ρυφαίου τῶν ἀποστόλων Πέτρου προβάλλεται. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Ἀνάγνωθι Νεῖλον τὸν θεσπέσιον, καὶ εὑρήσεις πολλὴν ὠφέλειαν. Ἀλλ' ὡς ἔοικε κατὰ πέτραν πρὸς ῥύμην, καὶ αἰθίοπα ὕδατι καθαίρομεν, καὶ εἰς ὦτα νεκροῦ ἠχοῦμεν· εἴρηται γὰρ ταῦτα παροιμιακῶς μὲν, ὁρῶμεν δὲ ταῦτα τελειούμενα, ἐπὶ ἄλλῳ μὲν μηδενὶ τοσοῦτον, ὅσον ἐπὶ τῷ Ροδινῷ Νεοφύτῳ. Ἐστομώθη γὰρ ὡς σίδηρος τῶν παπιστῶν ταῖς νεωτερικαῖς δόξαις καὶ τούτοις κορεσθεὶς, οὐ φέρει τὸν κόρον, ἀλλ' ὡς παρὰ πληγὰς προσήχθη κατηγορεῖν τὸν ἁγιώτατον Φώτιον, καὶ τοὺς λοιποὺς προστάτας τῆς ἱερᾶς Ἐκκλησίας. Σὺ τίς εἶ ὁ ἀπόβλητος καὶ ἀγύρτης ὑβρίζων ἐκκλησίαν θεοῦ, δόγμασιν ἱεροῖς κεκοσμημένην, καὶ ἤθεσιν ἱεροῖς ἐντεθραμμένην; σὺ Φώτιον τὸ φῶς τῆς ὀρθοδοξίας γλώττῃ βδελυρᾷ διασύρεις; σὺ τὸν φωστῆρα τῆς ἱερᾶς ἐκκλησίας, καὶ τὸ ταύτης ἐγκαλλώπισμα ἀναιδεῖ στωμυλίᾳ, καὶ φαύλῃ θρασυστομίᾳ κατηγορεῖς; Οὕτως οὐδὲν θαυμαστὸν, εἰ αὐτὸς τοιοῦτος ὢν τοιαῦτα θρασυστομεῖς· οἱ γὰρ πολλοὶ οὐ δι' ἀρετῆς βούλονται γνώριμοι γενέσθαι, ἀλλὰ διὰ θρασυστομίας, καὶ εἰρωνείας, καὶ κολακείας, ὧν καὶ αὐτὸς τὸν βίον ἀφαρπάστως ζηλώσας, γέγονας κατάλαλος ἀρετῆς καὶ ὑβριστὴς θείων ἀνδρῶν. Ἀλλ' ὄντως οὐδένα βλάπτεις τοσαῦτα γράφων καὶ λέγων κατὰ τῶν θείων ἀνδρῶν, ἀλλὰ μόνον σεαυτόν, ὥσπερ ὁ χαλκεὺς Ἀλέξανδρος πολεμῶν τῷ μακαριωτάτῳ Παύλῳ ἑαυτὸν ἠδίκει, ἀλλ' οὐκ αὐτὸς ἐκεῖνον· ὁ γὰρ λιθολευστῶν τὸν οὐρανὸν, κατὰ τῆς ἑαυτοῦ κεφαλῆς βάλλει τοὺς λίθους καὶ αὐτὸν τούτοις τιτρώσκει, οὐκ ἐκεῖνον.

Τέλος τοῦ πρὸς Νεόφυτον τὸν Ροδινὸν λόγου.

Γ

Βυζαντινὰ ἔγγραφα περὶ τῆς ἐν Θεσσαλίᾳ ἐπισκοπῆς Σταγῶν, νῦν πρῶτον ἐκδιδόμενα.

Περὶ τῆς ἐπισκοπῆς ταύτης, ἥτις ἀναγράφεται ἐν τοῖς βυζαντινοῖς καταλόγοις 1) ὡς ὑπαγομένη τῇ μητροπόλει τῆς Λαρίσης, οὐδὲν ἔγγραφον ἐδημοσιεύθη μέχρι τοῦδε· 2) οὐδ' αὐτὴ ἡ συλλογὴ τῶν αὐτοκρατορικῶν καὶ πατριαρχικῶν ἐγγράφων τῶν κ. *Miklosich* καὶ *Mueller* περιέχει τι περὶ αὐτῆς.

Ἐν τῇ Βιβλιοθήκῃ τῆς Εὐαγγελικῆς Σχολῆς διατηρεῖται ἀντίγραφον τοῦ ιη' αἰῶνος δύο ἀνεκδότων βυζαντινῶν ἐγγράφων τοῦ ιδ', ἅτινα δημοσιεύομεν ἐνταῦθα ἕνεκα τῆς μεγάλης αὐτῶν ἱστορικῆς καὶ γεωγραφικῆς σημασίας.

1

Χρυσόβουλλον τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ Παλαιολόγου, ἐκδοθὲν τῷ 1332.

Ἐπειδὴ ὁ θεοφιλέστατος ἐπίσκοπος, καὶ οἱ κληρικοὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Σταγῶν, ἀνέφερον ὅτι κέκτηνται δύο χρυσόβουλλα τοῦ ἀειδήμου καὶ μακαρίου ἁγίου αὐθέντου καὶ βασιλέως κὺρ Νικηφόρου τοῦ Βοτανειάτου, καὶ ἕτερον χρυσόβουλλον τοῦ ἀειδήμου βασιλέως κὺρ Ἀλεξίου Κομνηνοῦ δωρούμενα τῇ αὐτῇ ἐπισκοπῇ παροίκους ἐνυποστάτους μετὰ τῆς αὐτῶν ζευγάρια ιθ' καὶ ἐπέκεινα τῆς γῆς τῶν τοιούτων ζευγαρίων, ἑτέραν γῆν μοδίων χιλίων, ἥτις εὑρίσκεται ἐν τῷ χωρίῳ λεγομένῳ Κουβέλτζι-

1) *Parthey*, σ. 121 ἀρθ. 502. σ. 260 ἀρθ. 159.

2) Ὁ κ. *Heuzey* ἐδημοσίευσεν ἐν τῷ *Annuaire de l' Association. Paris* 1875. σ. 232—251, ἓν ἔγγραφον περὶ τῆς μονῆς τῶν Μετεώρων τῆς ὑπαγομένης τῇ ἐπισκοπῇ ταύτῃ.

ον· εὑρίσκονται δὲ ἐν αὐτῇ τῇ γῇ κατεχόμενα παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ τῶν κληρικῶν τῆς αὐτῆς ἐπισκοπῆς· ὡσαύτως ἐνεφάνησε τῇ ἐμῇ βασιλείᾳ ὁ αὐτὸς ἀρχιερεὺς μετὰ τῶν ἐκεῖσε κληρικῶν προσταγματικὸν βασιλικὸν καὶ αὐθεντικὸν ἡμῶν διάφορον, ἐπικυρωτικῶν ἄν τις φαίη εἶναι τῶν ἀναγεγραμμένων ἐκκλησιαστικῶν πραγμάτων ἐγγράφως τῇ βασιλείᾳ μου, ἐδήλου εἶναι τὸν θεοφιλέστατον ἐπίσκοπον Σταγῶν, μετὰ τῶν αὐτοῦ κληρικῶν, δεσπότας καὶ κατόχους τῶν ἀναγεγραμμένων ἐνυποστάτων παροίκων μετὰ τῆς γῆς αὐτῶν χωροῦσα ζευγάρια ιθ΄ καὶ ἐπέκεινα τούτων ὅσα ἐν τῷ πρακτικῷ γεγραμμένα τυγχάνουσιν. Ἀκολούθως δὲ τούτοις ἐνεφανήσθησαν ὑπ' αὐτῶν καὶ πρακτικὰ οὐκ ὀλίγα σιγγίλια πάντων τῶν προσόντων τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Σαγῶν ἐπικυρωτικὰ μετὰ χρυσοβούλλων τῶν πρὸ ἡμῶν βασιλέων καὶ ἑτέρων ἀναγραφέων πάσης καὶ παντοίας δημοσιακῆς ζητήσεως τε καὶ δόσεως καὶ ὀχλήσεως καὶ ἐπηρείας καὶ ζημίας ἀνωτέρας, διατηρεῖσθαι διαλαμβάνοντα πάντα τὰ ὑπὸ τὴν ἁγιωτάτην ἐπισκοπήν, τοὺς κληρικοὺς δηλαδή, τοὺς ἐνοίκους τῆς χώρας, τὰ μοναστήρια καὶ τοὺς ὑπὸ τὴν ἐνορίαν αὐτῆς ὄντας ἱερωμένους, Βλάχους τε καὶ Βουλγάρους καὶ Ἀλβανίτας, ταῦτα δὲ πάντα γεγενημένα κατὰ τὴν περίληψιν τῶν ἀναπεφωνημένων βασιλικῶν χρυσοβούλλων,´ καθὼς καὶ τὸ πρακτικὸν ἴδωμεν καὶ ἐπέγνωμεν τοῦ Μανσελῆ, τοῦ χρηματίσαντος πράκτορος καὶ ἀναγραφέως, φέρον ἐπιβεβαίωσιν ὄπισθεν τοῦ πρωτοπανσεβάστου ὑπερτάτου πράκτορος· περιεῖχε δὲ τὸ τοιοῦτον πρακτικὸν διακεῖσθαι τὴν ἐπισκοπὴν εἰς τὸ Παλαιόκαστρον, διακρατοῦσαν αὐτό, καὶ περὶ τοὺς πρόποδας τούτου ἔχουσα περιβόλιον καὶ λουτρὸν σύνεγγυς τοῦ ἁγίου ναοῦ τοῦ Προδρόμου ἔνθα καὶ ἡ βρύσις ἐστιν· ἔστι δὲ καὶ εἰς τοὺς πρόποδας τοῦ αὐτοῦ Παλαιοκάστρου τὸ ἐμπόριον ἐν ᾧ ἐδήλου τὸ αὐτὸ πρακτικόν, ὡς εἶχεν ἡ αὐτὴ ἁγιωτάτη ἐπισκοπὴ κληρικοὺς ἐνυποστάτους λδ΄ καὶ ἐνοίκους ἐνυποστάτους ξέ καὶ μύλωνας ὁλοκαιρινοὺς δύω, καὶ μυλοθέσιον 1) ἕν· ἔτι δὲ εὕρομεν ἐν τῷ αὐτῷ πρακτικῷ καὶ τὰ ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ μονύδρια καὶ μετόχια ὄντα τῆς αὐτῆς ἁγιωτάτης ἐπισκοπῆς, ἥ τε μονὴ τῆς ὑπεραγίας Θεοτόκου ἡ Δουπιανή, 2) καὶ ἡ μονὴ τῆς Θεοτόκου εἰς τὸ Αἰπόχοβον, καὶ ἡ μονὴ τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸ Ἀσπροπόταμον (ἦσαν οὕτω εἰς μετόχια ταύτης) τούτων πάντων δεσπόζουσαν τὴν ἁγιωτάτην ἐπισκοπὴν Σταγῶν, διώρισται ἐν ἐκείνῳ τῷ πρακτικῷ· εὕρομεν δὲ ἐν τῷ αὐτῷ πρακτικῷ καὶ τὴν περιοχὴν τῆς τοιαύτης ἐπαρχίας ἀρχομένην ἐκ χωρίου λεγομένου Τζηρνιτζόβου, καὶ ἀναβαίνει εἰς τὴν Ῥάχην καὶ καταβαίνει εἰς τὸ Ξηρὸ Ῥεῦμα, πλησίον τῆς Σθλάτινας, καὶ ἀναβαίνει εἰς τὸ βουνὸ τὸ λεγόμενον Βλέμπι καὶ καταβαίνει τὰ διάρραγα 3) τοῦ βουνοῦ τοῦ λεγομένου Μπεκοβίκου, καὶ καταντᾷ εἰς τὸ Μέλλοβον καὶ εἰς τὴν Καρύτζαν καὶ ἀνέρχεται πλησίον τοῦ λουτροῦ· καὶ ἀναβαίνει εἰς τὸ βουνὸν τῆς Μπινάσιας καὶ καταβαίνει ἕως ξηροποτάμου τοῦ λεγομένου Βρυσίτζα, καὶ ἀνέρχεται εἰς τὸ χεῖλος τοῦ ποταμοῦ ἕως εἰς τὸ τῶν Κλάπτων σύνορον, καὶ ἀνέρχεται πρὸς δυσμὰς εἰς τὴν Μηλέαν καὶ εἰς τὸν Ζυγὸν καὶ καταβαίνει πρὸς νότον εἰς χωρίον τὸ λεγόμενον Καλῆκι, καὶ ἀναβαίνει εἰς τὰ Λευκὰ Ὄρη καὶ εἰς τὸ βουνὸν τῆς Μουτζάρας, καὶ καταντᾷ εἰς τὸ Γρεβενοσέλλη καὶ πέρα τοῦ Ἀχελώου ποταμοῦ, καὶ καταντᾷ εἰς χωρίον τὸ λεγόμενον Μουσίντα, καὶ ἀνέρχεται εἰς Μηρόκοβον καὶ εἰς τὰ Κορνήσια, καὶ ἀναβαίνει εἰς τὸ βουνὸν καὶ καταβαίνει εἰς χωρίον λεγό-

1) Ἡ λέξις αὕτη δὲν ἀναφέρεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου.

2) Ἅπασα ἡ ἱστορία τῆς μονῆς ταύτης ἀναφέρεται ἐν τῷ ἐγγράφῳ τῷ ἐκδοθέντι ὑπὸ τοῦ κ. *Heuzey*. Ἐπιγράφεται δὲ αὐτὸ οὕτω. «Σύγγραμμα ἱστορικόν, ὡς ἐν συνόψει συντεθὲν, δηλοῦν περὶ τῆς Σκήτεως ὅτι τί ἐστι τῆς ὑπεραγίας Θεοτόκου τῆς Δοπιανοῦ καὶ Σταγῶν, καὶ πῶς σήμερον λέγεται τοῦ Μετεώρου.» Βλ. *Annuaire* ἔνθ. ἀνωτ. σ. 234.

3) Ἐν τῷ Θησαυρῷ ἀναφέρεται μόνον τὸ ῥῆμα διαρραγίζω.

μενον Βαρδάνι καὶ ἀναβαίνει τὰ Δήραχα καὶ καταβαίνει εἰς τὴν Πηγὴν τοῦ Κόρμπου, καὶ ἀναβαίνει ἕως τοῦ βουνοῦ τοῦ λεγομένου Κεζιακοῦ, καὶ καταβαίνει κατὰ ἀνατολὰς εἰς χωρίον Ξυλικοὺς καὶ κατέρχεται ἕως Βρύσεως τοῦ Μαύρου Νεροῦ, καὶ ἀπέρχεται πρὸς μεσημβρίαν μέχρι τοῦ λεγομένου Ἡμέρου Κλήματος, διαιροῦσα τὰ δίκαια τοῦ χωρίου Μερτζίου καὶ σχίζουσα τὸν δρυμῶνα καὶ ἀνέρχεται πρὸς ἄρκτον καὶ καταντᾷ μέχρι τῶν ἀμπέλων χωρίου Τραμπουχονίσας.ὅθεν καὶ ἤρξατο τὸ πρῶτον. Οἱ δὲ προειρημένοι, ὅτε θεοφιλέστατος ἐπίσκοπος Σταγῶν καὶ οἱ κληρικοὶ αὐτοῦ ἦθον καὶ παρεκάλεσαν ἵνα τύχωσιν ἐπὶ τούτοις τοῖς βασιλικοῖς χρυσοβούλλοις καὶ πρακτικοῖς τῶν παλαιῶν ἀναγραφέων καὶ ἡμετέρων χρυσοβούλλων βεβαιωτικῶν πάντων τῶν προσόντων τῆς ἁγιωτάτης ἐπισκοπῆς, ἵνα μὴ ὑπὸ τῆς πολυετείας εἰς λήθην τὰ τοιαῦτα ἔλθωσιν· ἡ δὲ βασιλεία μου τὴν παράκλησιν καὶ αἴτησιν αὐτῶν εὐμενῶς προσδεξαμένη, τὸν παρόντα χρυσόβουλλον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς δι' οὗ προστάττει καὶ διορίζεται ἵνα κατέχῃ αὐτὰ καὶ νέμεται μέχρι τοῦ νῦν, καθὼς ἔχει ἀνέκαθεν καὶ ἐξ ἀρχῆς εἰς ταῦτα δίκαιον· καὶ ἔχει ἄδειαν ποιεῖν εἰς σύστασιν καὶ βελτίωσιν αὐτῶν καθὼς ἔχει βουλήσεως καὶ δυνάμεως ἐκδουλεύσωσί τε καὶ οἱ τοιοῦτοι κληρικοὶ καθὼς εἰσὶ τεταγμένοι εἰς τὴν τοιαύτην ἐπισκοπὴν, ἀποδώσωσι δὲ πρὸς αὐτὴν τὸ ἀνῆκον τέλος, ὅσοι ἔχουσιν ὑποτελῆ κτήματα αὐτῆς, καὶ μηδόλως ἀντιτείνοντες εἰς τοῦτο. Ὅθεν τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου κατέχει μὲν καὶ νέμεται τὰ εἰρημένα ἅπαντα ὡς ἐκράτει καὶ ἐνέμετο, καθὼς καὶ ἀνωτέρω διήλειπται, διατηρῶνται δὲ ταῦτα ἀνώτερα καὶ ἀκαταζήτητα ἀπὸ πάσης ἐπερχομένης δόσεως τε καὶ ζητήσεως, καὶ οὐδεὶς οὐ μήποτε τῶν ἁπάντων τολμήσαι χεῖρας ἐπιβαλεῖν ἐπ' αὐτοῖς πλεονεκτικάς τε καὶ ἀδίκους· βούλεται γὰρ ἡ βασιλεία μου ἀνενόχλητα καὶ ἀδιάσειστα παντάπασι διατηρεῖσθαι ἀπὸ πασῶν τῶν ἐπερχομένων δημοσιακῶν δόσεων τε καὶ ζητήσεων· ἐπὶ τούτῳ γὰρ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ διαλειφθείσῃ ἁγιωτάτῃ ἐπισκοπῇ Σταγῶν ὁ παρὼν χρυσόβουλλος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα μάρτιον τῆς τρεχούσης τετάρτης ἰνδικτιῶνος τοῦ ϛ (ἑξακισχιλιοστοῦ) ὀκτακοσιοστοῦ τεσσαρακοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ἐπεσημήνατο κράτος· εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τό

Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς
Βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων
ὁ Παλαιολόγος.

2

Σιγγίλιον τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἀντωνίου ἐκδοθὲν τῷ 1393.

Ἐπειδὴ ὁ Θεοφιλέστατος ἐπίσκοπος Σταγῶν ἐνεφάνισε τῇ ἡμῶν μετριότητι γράμμα τοῦ πανσεβάστου οἰκείου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου βασιλέως ἐπάρχου κυρίου Μηχαὴλ μοναχοῦ, τοῦ εἰς κεφαλὴν εὑρισκομένου τῆς χώρας Βλαχίας, ὃς παρδέωκε μὲ τοῖς ἄλλοις, καὶ πρὸς τὸ μέρος τῆς ἁγιωτάτης ἐπισκοπῆς Σταγῶν τὸ ἐκ γῆς σκότι (sic) καὶ περιελθὸν αὐτῇ χωρίον τὸ καλούμενον Κουβέλτζιον, ἔτι δὲ καὶ τὸ τόπιον αὐτῆς τὸ καλούμενον Χιλιόμοδον παραδέδωκεν ὁ αὐτὸς, ὁ τοιοῦτος ἔπαρχος δι' ἑτέρας αὐτοῦ γραφῆς τῷ μέρει τῆς τοιαύτης ἁγιωτάτης ἐπισκοπῆς Σταγῶν καὶ τὰ περὶ τὴν ἐνορίαν αὐτῆς εὑρισκόμενα μονίδρια εἰς μετόχια τῆς αὐτῆς ἐπισκοπῆς, τό τε λεγόμενον Δουπιανὴ καὶ τὸ Λιπόχοβον καὶ ἕτερον εἰς ὄνομα τιμώμενον τοῦ ἐν ἁγίοις παμμάκαρος Νικολάου καὶ ἐπικεκλημένον Κνεῖτον καὶ ἕτερον τι εἰς τὸ αὐτὸ ὄνομα τιμώμενον καὶ ἐπικεκλημένον Πέτρα· ὁμοίως ἐνέθηκε τῇ αὐτῇ ἁγιωτάτῃ ἐπισκοπῇ Σταγῶν καὶ τὸ τῆς Παναγίας μονίδριον τὸ εὑρισκόμενον ἐν τῷ Ἀσπροποτάμῳ· ἐζήτησε δὲ ὁ τῆς τοιαύτης ἁγιωτάτης ἐπισκοπῆς θεοφιλέστατος ἐπίσκοπος ἵνα γένηται αὐτῷ καὶ

ἡμέτερον γράμμα συγγιλιῶδες πλείονος ἕνεκα ἀσφαλείας καὶ ἀνενοχλήσεως· ἡ δὲ ἐμὴ μετριότης ἰδοῦσα ἀκριβῶς ἅπερ ὁ πανσέβαστος κῦρ Μιχαὴλ ὁ Ἔπαρχος καὶ μοναχὸς οἰκειοθελήτως ἀφιέρωσε τῇ ἁγιωτάτῃ ἐπισκοπῇ ταύτῃ, σύγγιλιῶδες ἐποιήσατο τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ ἵνα μηδεὶς ἐπιχειρήσας ἐνοχλῆσαι αὐτῶν ἢ ἐπηρεάξαι τὸ σύνολον· ὁμοίως ἰδοῦσα καὶ ὁρισμῶν ἐπέχουσα τάξιν χρυσόβουλλα τοῦ πορφυρογεννήτου βασιλέως κῦρ Μανουὴλ τοῦ Κομνηνοῦ καὶ κτήτορος τῆς ἁγιωτάτης ἐπισκοπῆς Σταγῶν, διαλαμβάνοντα ἵνα κατέχῃ καὶ διέπῃ τὴν ἐνορίαν της ἅπασαν ἀνενόχλητος καὶ ἀσκανδάλιστος καὶ τὰ ἐν αὐτῇ μετόχια, καθὼς ἐδήλωσαν ἡμῖν τὰ βασιλικὰ προστάγματα καὶ χρυσόβουλλα· καὶ τοῦτο ἡ ἐμὴ μετριότης ἐν τῷ παρόντι συγγιλιώδει γράμματι οὐκ ᾤετο δεῖν ἀριμείωτον 1) εἶναι ἀλλὰ δὴ καὶ περὶ τῶν ὁρίων αὐτῆς τῆς ἐπισκοπῆς Σταγῶν ἠθέλησε δοῦναι συγγιλιῶδες γράμμα τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ, ἵνα μήτ ς τῶν μετέπειτα γειτνιάζων τὸν ἐπίσκοπον τολμήσῃ παραβαίνειν τῆς τοιαύτης ἁγιωτάτης ἐπισκοπῆς τοιαῦτα ὅρια. Ἄρχεται δὲ τὰ ὑποκείμενα ὅρια ταύτῃ τῇ ἐπισκοπῇ Σταγῶν ἐκ χωρίου λεγομένου Βοεβόδα ἐπονομαζομένου Παλαιοβλάχους· καὶ ἀναβαίνουσιν αὖθις εἰς τὴν Ράχην καὶ καταβαίνουσιν ἕως χωρίου τοῦ λεγομένου Τραμπουχουνίστας καὶ εἰς τὸ ξηρὸ ρεῦμα τῆς Σθλάτηνας· καὶ ἀναβαίνει αὖθις κατὰ ἀνατολὰς κατὰ τὴν κορυφὴν τοῦ ὄρους τοῦ λεγομένου Κούρσεβον καὶ εἰς τὰ προπόδια τῆς Ράχεως τῆς λεγομένης Βλέμπης, καὶ ἕως τῆς χώρας Σμόλιας· καὶ ἀνέρχεται εἰς τὴν Κορυφὴν τοῦ ὄρους τοῦ λεγομένου Μποκοβίκου καὶ καταντῶσιν εἰς τὸ Μέλλοβον καὶ καταβαίνουσιν εἰς Καρύτζαν καὶ ἀναβαίνουσιν πλησίον τοῦ Λοστροῦ καὶ ἀναβαίνουσιν ἕως τοῦ βουνοῦ τῆς Μπονάσιας καὶ καταβαίνουσιν ἕως τοῦ ξηροποτάμου τοῦ λεγομένου Σουν[illegible] καὶ ἀνέρχεται κατὰ δύσιν καὶ ἀναβαίνουσιν εἰς τὴν Μηλλέαν καὶ εἰς τὸ βουνὶ τὸ λεγόμενον Ζυγὸς καὶ καταβαίνουσιν εἰς χωρίον τὸ λεγόμενον Χαλῆκι καὶ ἀναβαίνουσιν εἰς τὰ Λευκὰ Ὄρη καὶ καταβαίνουσιν εἰς τὴν Μοτζάραν καὶ κατανῶσιν εἰς τὸ Γρεβενὸ καὶ ἀπαντῶσι τὸ Ἀσπροπόταμον καὶ καταντῶσιν εἰς χώραν λεγομένην Μουσίντα καὶ ἀνέρχεται ἕως τοῦ Κοθώνι καὶ ἕως τοῦ χωρίου τοῦ λεγομένου Σαρδάνι καὶ ἀναβαίνουσιν εἰς τὰ Διάρραχα καὶ καταβαίνουσιν εἰς τὴν πηγὴν τοῦ Κόρμπου καὶ ἀναβαίνουσιν ἕως τοῦ βουνοῦ τοῦ λεγομένου Κοζιαννοῦ καὶ καταβαίνουσιν ἕως τοῦ χωρίου τοῦ λεγομένου Ξυλικοῦ καὶ κατέρχονται ἕως Βρύσεως τοῦ Μαύρου Νεροῦ καὶ ἀπέρχονται πρὸς μεσημβρίαν μέχρι τοῦ λεγομένου Ἡμέρου Κλήματος· κἀκεῖθεν ἀπέρχονται μέχρι τοῦ Γαβροβίκου καὶ διαιροῦσι τὰ δίκαια τοῦ χωρίου Μπρτζίου καὶ σχίζουσι τὸν δρυμῶνα καὶ ἀνέρχονται πρὸς ἄρκτον καὶ καταντῶσι μέχρι τῶν ἀμπέλων χωρίου Τραμπουχωνίστας. Καὶ ταῦτα μὲν οὕτως ἔχει κατὰ τὰ βασιλικὰ προστάγματα καὶ χρυσόβουλλα, ἅτινα ἡ ἐμὴ μετριότης ἀναγνοῦσα καλῶς καὶ τὰς αἰτήσεσιν (sic) ἀξας τοῦ θεοφιλεστάτου ἐπισκόπου Σταγῶν, ἔδωκεν αὐτῷ τὸ παρὸν συγγιλιῶδες γράμμα, δι' οὗ συγγιλιώδους γράμματος ἐν ἁγίῳ παρακελευόμεθα Πνεύματι ὡσὰν ἡ εἰρημένη ἁγιωτάτη ἐπισκοπὴ Σταγῶν καὶ τὰ ὑπ' αὐτὴν τελοῦντα, ὡς δεδήλωται, μετόχια καὶ διάφορα κτήματα καὶ κανονικὰ δίκαια, διατηρῶνται παρὰ πάντων ἀνενόχλητα καὶ ἀδιάσειστα καὶ μήτε τινὰ τῶν πλησιοχωρούντων ἀρχιερέων, μήτε τὸν κατὰ καιροὺς μητροπολίτην Λαρίσης, μήτε ἄλλων ἀρχόντων ἢ λαϊκῶν ἔχειν ἄδειαν χεῖρα κινεῖν ἅρπαγα κατ' αὐτῶν καὶ πάντων τῶν ὑποκειμένων καὶ προσόντων κτημάτων τε καὶ πραγμάτων τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐπισκοπῇ· ὡσαύτως δὲ ἐκ τῶν ἀρχόντων εἴτις καὶ τῶν ἐν ἰδιωτῶν μοίρᾳ τεταγμένων ἅρπαγα χεῖρα καὶ πλεονέκτην τοῖς προσοῦσι τῇ τοιαύτῃ ἐπισκοπῇ βουληθῇ ἐπιβαλεῖν ταῖς τῶν ἱεροσύλων ὑποπέσηται καταδίκαις καὶ τιμωρίαις καὶ τῷ ὑπὸ θεοῦ κατακρίματι· εἰ γὰρ τὰ

1) Ἡ λέξις αὕτη δὲν ἀναφέρεται ἐν τῷ Θησαυρῷ

τῶν ἐπικήρων καὶ φθαρτῶν βασιλέων κτήματά τε καὶ πράγματα, λησταῖς καὶ κλέπταις καὶ τοῖς ἁρπάζειν ἐθέλουσι κατὰ μόνας τὰς θέας εἰσὶ φοβερὰ καὶ αὐτοῖς ἐπιβάλλειν χεῖρα εἴτι τούτων ἀφαιρεῖν εἴτε δεῖν καὶ ἀναφύλακτα ὦσι καὶ ἐρριμένα (κἂν οὐδεὶς οὐ κωλύων τυγχάνει γαιῶν) καὶ ἅπαντες τούτων ἀφίστανται ὥςπερ ἀπὸ πυρὸς τὴν τοῦ φθαρτοῦ βασιλέως δεδηκότες καὶ τρέμοντες τιμωρίαν· εἶτα τῷ ἀφθάρτῳ βασιλεῖ καὶ αἰωνίῳ ἀφιερωθέντα ἢ λάθρα ἢ φανερῶς ἁρπάσαντες (ᾧ λέληθε τῶν πάντων οὐδὲν, οὐ πρᾶξις, οὐ διανόημα) τοῖς οὐ προσκαίροις κολάσεσί τε καὶ τιμωρίαις, ἀλλ' αἰωνίοις καὶ ἀτελευτήτοις ὑποβάλλει δικαίως τοὺς παρανόμους καὶ ἀδίκους καὶ ἅρπαγας καὶ ἱεροσύλους, ἤγουν τὰ τῷ θεῷ ἀφιερωθέντα ἐκ τῶν αὐτοῦ χειρῶν ἁρπάζειν προειρημένοι ποίαν ἐκφεύξονται καταδίκην καὶ τιμωρίαν ἢ ποίᾳ κολάσει οὐκ ἔσονται ὑπόδικοι; Ἀλλὰ καὶ ἡμεῖς τὸν τοιοῦτον ὅστις ἂν εἴη ὁ τολμήσας ἐπήρειαν ἐπαγαγεῖν τῇ εἰρημένῃ ἁγιωτάτῃ ἐπισκόπῇ καὶ τοῖς προσοῦσιν ἄλλοις κτήμασί τε καὶ πράγμασιν εἴτι ἀπ' αὐτῶν ἀποσπᾶσαι εἴτι παρασαλεῦσαι τῶν ὁρισμένων, ἀφορισμῷ φρικώδει καθυποβάλλομεν μέχρις ἂν μεταμεληθεὶς ἐπανασώσῃ τῇ ἁγιωτάτῃ ταύτῃ ἐπισκοπῇ καὶ ἐπιδώσῃ εἴτι ἔλαβε καὶ ἀπέσπασεν. Ἔστω τοίνυν εἰς τὸ ἑξῆς ἡ δηλωθεῖσα ἁγιωτάτη ἐπισκοπὴ ἐλευθέρα καὶ ἀνενόχλητος καὶ ἀζήμιος ὑπὸ πάντων· ὡσαύτως καὶ τὰ ἐν αὐτῇ μετόχια καὶ τὰ ἄλλα ὅσα ἐρρήθησαν ἄνωθεν κατὰ τὴν παροῦσαν συγγιλιώδη παρακέλευσιν τῆς ἡμῶν μετριότητος, ἀπολυθεῖσαν αὐτοῖς εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, κατὰ μῆνα μάρτιον τῆς ά ἰνδικτιῶνος ς (ἑξακισχιλιοστοῦ) ἐνενακοστοῦ πρώτου ἔτους.

† Ἀντώνιος ἐλέου Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

ΠΙΝΑΞ ΤΩΝ ΣΥΓΓΡΑΦΕΩΝ.

ΕΡΓΑ ΤΟΥ ΑΥΤΟΥ.

Τὰ ἀρχαῖα σμυρναϊκὰ σταθμὰ τοῦ Μουσείου τῆς Εὐαγγελικῆς Σχολῆς (μετὰ πέντε πινάκων)—Σμύρνη, 1875. εἰς 8ον.

Ἡ λιθίνη ἐποχὴ ἐν τῇ Μικρᾷ Ἀσίᾳ (μεθ' ἑνὸς πίνακος)—Σμύρνη, 1875. εἰς 8ον.

Ἔκθεσις περὶ τῶν ἐν τῇ Βιβλιοθήκῃ τῆς Παλαιᾶς Φωκαίας ἑλληνικῶν χειρογράφων.—Σμύρνη, 1876. εἰς 4ον.

Beitraege zur inschriftlichen Topographie von Klein-Asien.—Berlin, 1876. εἰς 8ον (Auszug aus dem Monatsbericht der Akademie der Wissensch.)

Κατάλογοι ἐπισκοπῶν, μετά τινων ἀνεκδότων ἐπιγραμμάτων καὶ στιχουργημάτων τοῦ ιζ' καὶ ιη' αἰῶνος. Ἐκ χειρογράφων τῆς Βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς. (Μουσ. καὶ Βιβλ.)—Σμύρνη, 1876. εἰς 8ον.

Περὶ τῆς ὁλκῆς τῶν ἀρχαίων σμυρναϊκῶν σταθμῶν τοῦ Μουσείου τῆς Εὐαγγελικῆς Σχολῆς (μεθ' ἑνὸς πίνακος.)—Σμύρνη, 1877. εἰς 4ον.

Περί τινος μήτρας σταθμῶν ἀνακαλυφθείσης μὲν ἐν Ὑπαίποις εὑρισκομένης δὲ ἐν τῷ Μουσείῳ τῆς Εὐαγγ. Σχολῆς (μεθ' ἑνὸς πίνακος.)—Σμύρνη, 1877. εἰς 4ον.

Κατάλογος τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ Βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς. Μετὰ παραρτήματος περιέχοντος καί τινα ἀνέκδοτα.—Σμύρνη, 1877. εἰς 4ον.